Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Epigrammata Helle?nika to?n palaio?n poie?to?n

https://hdl.handle.net/1874/420808

4

# ΕΠΙΓΡΑΜΜΑΤΑ

ΕΛΛΗΝΙΚΑ ΤΩΝ ΠΑΛΑΙΩΝ
ΠΟΙΗΤΩΝ, ΚΑΙ ΕΠΙΤΑ-
φια μετὰ τῶν ἐπιγραμμάτων Ἰωαχεί-
μου Καμεραρίου καὶ Ἰακώβου
τοῦ Μικύλλου.

EPIGRAMMATA VETERVM
POETARVM, CVM EPI-
taphijs & epigrammatis Ioa-
chimi Camerarij & Ia-
cobi Micylli.

BASILEAE EX OFFICINA
HERVAGIANA.

1538.

# ΙΟΑΧΕΙΜΟΣ ΚΑΜΕΡΑΡΙΟΣ ΙΕΡΩΝΥΜΩ ΒΑΜΓΑΡΤΝΕΡΩ ΚΑΙ Γεωργίῳ Ρωμαίῳ φρονήσει καὶ σοφίᾳ ἐπιφανεστάτοις χαίρειν.

Συγγραφέα τινὰ τῶν πάλαι διερχόμενόν φασι τὰς ἑλληνίδας πόλεις καὶ συλλεξάμενον τὰ εὑρεθέντα ἐν αὐταῖς ἐπιγράμματα ἐν ἑνὶ βιβλίῳ συλλήβδην ἀναγνωσθησόμενα προὐκτεθεικέναι τοῖς φιλίστορσι, τούτῳ δὴ καὶ ἡμεῖς ἐφεψάμενοι, οὐ μὴν κατά γε τὰς πόλεις ἀλλὰ βίβλους τὰς ἑλληνικὰς διασπαρέντα ἐπιγράμματα ἔμμετρα συγκομίσαντες ἐνταῦθα τοῖς περὶ τὴν παιδείαν καὶ ἣ πάντως ταύτῃ συνέχονται, ἱστορίαν τῶν ἑλλήνων σπουδαίοις καρποῦσθαι προσφέρομεν, καὶ ὑμῖν μὲν ἐν τοῖς πρώτοις ἱστορικωτάτοις τε καὶ φιλομαθείᾳ εἰς τὸ πόῤῥω ὅτι μακρότατον προβεβηκόσιν, ὡς οὐ μὲν ἀκοῇ ἡμεῖς γε, γνώσει δὲ ἀκριβεῖ ἴσμεν, ἣν ἐκ τῆς ὑμετέρας συνηθείας καὶ ἐπιτηδειότητος λαβεῖν ἐξεγένετο, τοῦτο δὲ οὐχ ἧττον ἢ ἅπασα ἄλλη εὐδαιμονία τε καὶ ἀρετὴν ὑμῖν ἔν τε τῷ νῦν καὶ παρὰ τοῖς ἐσομένοις ποτὲ ἀοίδιμον ὄνομα ἐξεμπολήσει, ὥσπερ καὶ τούτῳ μὲν τῷ ἔργῳ

νοῦ τε καὶ φρονήσεως, πολὺ μᾶλλον ὑμεῖς φιλοτιμεῖτε καὶ κομψεύετε ἢ πᾶσι τοῖς ἄλλοις ἅτινα ἢ ὑπὸ τῶν πολλῶν μόνα θαυμάζεται, ἢ καὶ οὐδὲ τῆς τῶν σοφωτέρων ἐστὶ τιμῆς ἀνάξια, ὄλβιόν τε, ὡς ἀληθῶς νομίζετε, οὐ τὸν πλούτῳ καὶ χρήμασιν ἢ καὶ δυναστείᾳ ὑπερέχοντα τῶν ἄλλων, ἀλλὰ τὸν τούτοις κάλλιστα καὶ κοινωφελέστατα καὶ σωφρονέστατα χρῆσθαι δυνάμενον, εὐεικόμενον ἀεὶ αὐτῷ ἅμα καὶ τοῖς πολίταις ἀγαθόν τι κοινὸν πρὸς τὸν βίον εὖ τε καὶ χαριέντως διαχθησόμενον. ἰδίως γοῦν πρὸς ὑμᾶς ταῦτα οἱονεὶ ἐμβλήματά τινα τῆς τε ὑμετέρας ἀξιαγάστου παιδείας ἀποπέμψαι ἔδοξέ μοι πεπεισμένῳ οὐχ οὕτω τῇ τοῦ δωρηθέντος τιμῇ ὡς φιλανθρωπίᾳ καὶ πραότητι ὑμετέρᾳ. ἔχομεν δ' οὖν καὶ τῆς προγεγενημένης ἡμῶν φιλίας οἷον δὴ ἐνέχυρον ἐγγύαν ἢ μὴν ἀμφοτέρων τυχεῖν παρ' ὑμῶν. δέχεσθε γοῦν τόδε τὸ φαῦλον, ὅσον γε καθ' ἡμᾶς, ἐκπόνημα, ὥσπερ τινὰ εἰ δοκεῖ τηλόθεν ἐξ ἀπίης γαίας, ἵν' ὁμηρικῶς εἴπω, προσενεχθέντα ὑμῖν ἢ καρπὸν τῶν θαυμαστῶν ἢ ἐσθῆτα, ἢ ἄλλο τι τοιοῦτο, εὐμενῶς τε καὶ ἱλαρῶς, ὃ ἐὰν γένοιτο πάντα ἔχοιμεν ἂν ἅπερ ἠλπίσαμεν. ἐνδείξασθαι δὲ καὶ οἷον κοινωνοῦ τούτου τοῦ δωρήματος μεταδιδόναι ὑμᾶς ἐθέλοιμι τῷ συμπολιτευομένῳ ὑμῖν ἀπὸ καρβατίνων προνομασθέντι ἱερονύμῳ, οἶδά τε γὰρ ὃν λέγω, τῆς λέξεως γράμμασιν ἑλληνικοῖς ἐναρμοσθῆναι οὐ δυναμένου. τούτων μὲν τοι τῶν ἐπιγραμμάτων ὧν ἡμεῖς, ὡς ὁρᾶτε, τὴν συγκομιδὴν ἐξιδιοποιοῦμεν, εἴτινος τυχὸν καὶ ἐν τοῖς πρό-

τερον

τερον ὑπὸ τοῦ Ἀλδου ἐκδοθεῖσιν εὑρεθήσεται οὐχ ἁπλῶς οὐδ᾽ ἠλιθίως οὐδ᾽ ἀλλότρια καὶ ταῦθα κείμενα ὑπολάβησθε, ὄψεσθε γὰρ τὰ παρ᾽ ἡμῶν διερχόμενοι ἢ ἧττον ἀδιόρθωτα ἐκείνων, ἢ τῆς γραφῆς ἕτερόν τι ὑποβάλλοντα, ὥστε οὐκ εἶναι ταυτογραφίαν τήνδε, ἀλλὰ καθάπερ ἄν τις φαίη καινὴν ἀφ᾽ ἡμῶν. τὰ δὲ μεταγενέστερα ταυτὶ ἐν ὥπερ αὐτοὶ ἐθέλοιτε λόγῳ τε καὶ ἀριθμῷ θήσετε, οὐδὲν δ᾽ οὖν οἷον δεῖγμά τι παρασκευάσασθαι τῆς τῶν νεωτέρων σπουδῆς, καὶ ὥσπερ κατ᾽ ἴχνη τῶν προτέρων ὁδοιπορείας, ἐκείνοις γὰρ ἑπομένων περίεργον τάχα τι, ἀποχωρούντων δὲ οὐδὲν πώποτε οὔτε δέον οὔτε χρηστὸν ἂν γένοιτο. τὰ δὲ ὀνειροκριτικὰ ὅσα τε ἀρχαῖα ὅσα τε ἡμέτερα τοσαύτης ἂν σπουδῆς τυχεῖν ἐθέλοιμι, ἐφ᾽ ὅσον ἂν τῆς καλλίστης καὶ δεξιωτάτης εἰκασίας ἥκωσι. τὸ γὰρ ἀληθὲς οὐχ, ὡς οἶμαι, εἰς τὸ ἀκριβὲς ζητητέον. οὔτε ἐν τούτοις, οὔτ᾽ ἐν ἄλλοις οἷσισι νοῦν τῶν ἀποβησομένων σημείοις. ἔρρωσθε ἐκ Τυβίγγας τῇ ιε. τοῦ Ῥωμαϊκοῦ μηνὸς ἰουνίου, ἔτει ἀπὸ χριστογονίας α. φ. λς΄.

# ΧΡΗΣΜΟΙ.

## ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΤΩ ΚΡΟΙΣΩ.

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμόν τε μέτρα θαλάσσης
καὶ κωφοῦ συνίημι καὶ οὐ φωνεῦντος ἀκούω,
ὀδμὴ μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπίεσται.

Τῷ αὐτῷ.

ἀλλ' ὅταν ἡμίονος βασιλεὺς μήδοισι γένηται
καὶ τότε λυδὲ ποδαβρὲ πολυψηφῖδα παρ' ἕρμον
φεύγειν μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

Τῷ πεισιστράτῳ.

ἔῤῥιπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασαι
θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

Τῷ λυκούργῳ.

ἥκεις ὦ λυκόοργε ἐμὸν ποτὶ πίονα νηὸν
ζηνὶ φίλος τε πᾶσιν ὀλύμπια δώματ' ἔχουσι.
δίζω ἤ σε θεὸν μαντεύσομαι ἤ ἐπαι ἄνδρα,
ἀλλ' ἔτι τε μᾶλλον θεὸν ἔλπομαι ὦ λυκόοργε.

Τοῖς λακηδαιμονίοις.

ἀρκα/

ἀρκαδίην μ᾽ αἰτεῖς, μέγα μ᾽ αἰτεῖς. οὔτοι δώσω
πολλοὶ ἐν ἀρκαδίῃ βαλάνη φάγοι ἄνδρες ἔασιν
οἵ σ᾽ ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔτι μεγαίρω
δώσω τοι τεγέην ποσίκροτον ὀρχήσασθαι
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι

Τοῖς αὐτοῖς.

ἔστι τις ἀρκαδίης τεγέη λευρῷ ἐνὶ χώρῳ
ἔνθ᾽ ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ᾽ ἀνάγκης
καὶ τύπος ἀντίτυπος, καὶ πῆμ᾽ ἐπὶ πήμασι κεῖται,
ἔνθ᾽ ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα
τὸν συκομισάμενος τεγέης ἐπιτάῤῥοθος ἔσῃ.

Τῷ κροίσῳ.

λυδὲ γένος πολλῶν βασιλεῦ μέγα νήπιε κροῖσε
μὴ βούλευ πολύευκτον ἰὴν ἀνὰ δώματ᾽ ἀκούειν
παιδὸς φθεγγομένου. τὸ δέ σοι πολὺ λώϊον ἀμφὶς
ἔμμεναι. αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβω,

Τοῖς κνιδίοις.

ἰσθμὸν δὲ μὴ πυργοῦτε μηδ᾽ ὀρύσετε
ζεὺς γάρ κ᾽ ἔθηκε νῆσον, εἴ κ᾽ ἐβούλετο.

Τοῖς σιφνίοις.

ἀλλ᾽ ὅταν ἐν σίφνῳ πρυτανήϊα λευκὰ γένηται
λευκόφρυς τ᾽ ἀγορὴ τότε δὴ δεῖ φράδμονος ἀνδρὸς
φράσασθαι ξύλινόν τε λόχον κήρυκά τ᾽ ἐρυθρόν.

Τῷ βάττῳ τῷ τῆς κυρήνης οἰκιστῇ.

βάττ᾽ ἐπὶ φωνὴν ἦλθες, ἄναξ δέ σε φοῖβος ἀπόλλων
ἐς λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα

Τῷ αὐτῷ.

ἄστυ ἐμεῦ λιβύην μηλοτρόφον οἶδας ἄμεινον
μὴ ἐλθὼν. ἐλθόντος ἄγαν ἄγαμαι σοφίην σεῦ.

Τοῖς ἕλλησι.

ὃς δέ κεν ἐς λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἵ ποκα φαμὶ μελήσειν.

Ενύπνιον τοῦ Ἱππάρχου τοῦ πεισιστράτου.

τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ.
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

Τῷ ἠετίωνι περὶ κυψέλου τοῦ υἱοῦ.

ἠετίων οὔτις σε τίει πολύτιτον ἐόντα
λάβδα κύει, τέξει δὲ ὀλοίτροχον, ἐν δὲ πεσεῖται
ἀνδράσι μουνάρχοισι, δικαιώσει δὲ κόρινθον.

Περὶ τοῦ αὐτοῦ.

αἰετὸς ἐν πέτρῃσι κύει τέξει δὲ λέοντα
καρτερὸν ὠμηστήν. πολλῶν δ᾽ ὑπὸ γούνατα λύσει.
ταῦτά νυν εὖ φράζεσθε κορίνθιοι, οἳ περὶ καλὴν
πειρήνην οἰκεῖτε καὶ ὀφρυόεντα κόρινθον.

Τῷ αὐτῷ.

ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον εἰσαναβαίνει,
κύψελος ἠετίδης βασιλεὺς κλειτοῖο κορίνθου
αὐτὸς καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες.

Περὶ τῶν μιλησίων.

καὶ τότε δὴ μίλητε κακῶν ἐπιμήχανε ἔργων
πολλοῖσιν δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσῃ,
σαὶ δ᾽ ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις,
νηοῦ δ᾽ ἡμετέρου διδύμοις ἄλλοισι μελήσει.

Τοῖς ἀργείοις καὶ μιλησίοις.

ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρσενα νικήσασα
ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.
ὥς ποτέ τις ἐρέει καὶ ἐπ' ἐσσομένων ἀνθρώπων
δεινὸς ὄφις τριέλικτος ἀπώλετο δουρὶ δαμασθείς.

Τῷ γλαύκῳ περὶ παρακαταθήκης.

γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτω
ὅρκῳ νικῆσαι καὶ χρήματα ληΐσσασθαι.
ὄμνυ, ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ' ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες
οὐδὲ πόδες, κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

Περὶ δήλου.

κινήσω καὶ δῆλον ἀκίνητόν περ ἐοῦσαν.

Τοῖς ἀθηναίοις.

ὦ μέλεοι τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης
δώματα, καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον οὔτε τὸ σῶμα
οὔτε πόδες νέατοι, οὔτ' ὦν χέρες, οὔτε τι μέσσης
λείπεται, ἀλλ' ἄζηλα πέλει. κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς ἄρης, συριηγενὲς ἅρμα διώκων.
πολλὰ δὲ κἄλλ' ἀπολεῖ πυργώματα, κοὐ τὸ σὸν οἶον,
πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
δείματι παλλόμενοι. κατὰ δ' ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.

ἀλλ' ἴτον ἐξ ἀδύτοιο, κακοῦ δ' ἐπικίδνατε θυμόν.

Τοῖς αὐτοῖς.

οὐ δύναται παλλὰς δί' ὀλύμπιον ἐξιλάσασθαι
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω ἀδάμαντι πελάσσας.
τῶν ἄλλων γὰρ ἁλισκομένων ὅσα κέκροπος οὖρος
ἐντὸς ἔχει, κευθμών τε κιθαιρῶνος ζαθέοιο.
τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα ζεύς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ, σὲ τέκνα τ' ὀνήσει.
μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν
νῶτον ἐπιστρέψας ἔτι τοί ποτε κἀντίος ἔσσῃ.
ὦ θείη σαλαμὶς ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν
ἤπου σκιδναμένης δημήτερος, ἢ συνιούσης.

Τοῖς ἀργείοις.

ἐχθρὲ περικτιόνεσσι φίλ' ἀθανάτοισι θεοῖσι
εἴσω τὸ προβόλαιον ἔχων πεφυλαγμένος ἦσο
καὶ κεφαλὴν πεφύλαξο, κάρη δὲ τὸ σῶμα σαώσει.

Τοῖς σπαρτιάταις

ὑμῖν δ' ὦ σπάρτης οἰκήτορες εὐρυχόροιο
ἢ μέγα ἄστ' ἐρικυδὲς ὑπ' ἀνδράσι περσείδῃσι
πέρθεται, ἢ τὸ μὲν οὐκί, ἀφ' ἡρακλέος δὲ γενέθλης
πενθήσει βασιλῆα φθίμενον λακεδαίμονος οὖρος.
οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
ἀντιβίην. ζηνὸς γὰρ ἔχει μένος, οὐδέ ἑ φημὶ
σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

Τοῦ βάκιδος.

φράζεο

φράζεο βαρβαρόφωνομ ὅταν ζυγὸμ εἰς ἅλα βάλλῃ
βύβλινομ, εὐβοίης ἀπέχειμ πολυμηκάδας αἶγας.

Του αὐτοῦ.

ἀλλ' ὅταν ἀρτέμιδος χρυσαόρου ἱερὸμ ἀκτὴν
νηυσὶ γεφυρώσωσι καὶ εἰναλίην κυνόσουραμ
ἐλπίδι μαινόμενοι λιπαρὰς πέρσαντες ἀθήνας,
δῖα δίκη σβέσει κρατερὸμ κόρον ὕβριος υἱὸμ
δεινὸμ μαιμώοντα, δοκοῦντα ἀνὰ πάντα πυθέσθαι,
χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' ἄρης
πόντομ φοινίξει, τότ' ἐλεύθερομ ἑλλάδος ἦμαρ
εὐρύοπα κρονίδης ἐπάγει καὶ πότνια νίκη

Του αὐτοῦ.

τὴν δ' ἐπὶ θερμώδοντι καὶ ἀσωπῷ λεχεποίῃ
ἑλλήνωμ σύνοδομ καὶ βαρβαρόφωνομ ἰυγὴν
τῇ πολλοὶ πεσέονται ὑπὲρ λάχεσίν τε μόρον τε
τοξοφόρων μήδωμ ὅταν αἴσιμομ ἦμαρ ἐπέλθῃ

Χρυσμὸς ἄδηλος.

οὐκ οἶνομ τρυγίαν ἐπεὶ οὐκ ἀντισδόνα ναίεις
οὐδ' ἱέραν ὑπόραν, ὅθι γ' ἄτρυγον οἶνομ ἔπινες.

Χρησμὸς δοθεὶς ἀλκμαίωνι.

τιμῆεν μ' αἰτεῖς δῶρομ μανίαν ἀποπαῦσαι
καὶ σὺ φέρειμ τιμῆεν ἐμοὶ γέρας ὧ ποτε μήτηρ
ἀμφιάραομ ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις

Χρησμὸς δοθεὶς μενελάῳ.

πάγχρυσομ φέρε κόσμομ ἑλὼν ἀπὸ σῆς ἀλόχοιο
λειρῆς ὅν ποτε κυπρὶς ἔδωκ' ἑλένῃ μέγα χάρμα
ὡς σοι ἀλέξανδρος τίσιν ἐχθίστῳ ἀποτίσῃ

Χρησμὸς δοθεὶς μεγαρεῦσιν ὡς δ' ἄλλοι
αἰγιεῦσιν ἐν ἀχαΐᾳ.

γαίης μὲν πάσης τὸ πελασγικὸν ἄργος ἄμεινον,
† al. θρη κίαι — ἵπποι †θεσαλικαί, λακεδαιμόνιαι δὲ γυναῖκες,
ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς ἀρεθούσης,
ἀλλ' ἔτι καὶ τῶν δ' εἰσὶν ἀμείνονες οἵ τε μεσηγὺ
τίρυνθος ναίουσι καὶ ἀρκαδίης πολυμήλου
ἀργεῖοι λινοθώρηκες κέντρα πολέμοιο.
† al. δ' αἰγιέες — † ὑμεῖς δ' ὦ μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι
οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

Τοῖς πελασγοῖς.

στείχετε μαιόμενοι σικελῶν σατούρνιαν αἶαν
ἠδ' ἀβοριγινέων κοτύλην, οὗ νᾶσος ὀχεῖται
αἷς ἀναμιχθέντες δεκάτην ἐκπέμψατε φοίβῳ
† al. ἅδῃ — καὶ κεφαλὰς † κρονίδῃ. καὶ τῷ πατρὶ πέμπετε φῶτα.

Τοῖς σπαρτιάταις.

φράζεο δὴ σπάρτη καίπερ μεγάλαυχος ἐοῦσα
μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασίλεια
δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι
† al. κυκωομένου — φθισιβρότου τ' ἐπὶ κῦμα †κυλινδομένου πολέμοιο

Τοῖς μεσσηνίοις ἐν ἰάμβοις.

κούρην ἄχραντον νερτέροισι δαίμοσι
κλήρῳ λαχοῦσαν αἰπυτιδῶν ἀφ' αἵματος
θυηπολεῖτε νυκτέροισιν ἐν σφαγαῖς.
ἢν δὲ σφαγῇ τε δὴ παρ' ἀλλοίου, τότε
θύειν διδόντας εἰς σφαγὴν ἑκουσίως

Τοῖς λακεδαιμονίοις.

οὔτε

οὔ σε μάχης μόνον ἔργ᾽ ἐφέπειν χρὴ φοῖβος ἄνωγεν
ἀλλ᾽ ἀπάτη μὲν ἔχει λείαν μεσσηνίδα λαὸς
ταῖς δ᾽ αὐταῖς τέχναισιν ἁλώσεται αἷσπερ ὑπῆρξε.

Τοῖς Μεσσηνίοις.

κῦδος σοι πολέμοιο δίδωσι θεὸς, ἀλλ᾽ ἀπάταισι
φράζου μὴ σπάρτης δόλιος λόχος ἐχθρὸς ἀνέλθῃ
κρείσσων. ἦ γὰρ ἄρης κείνων εὐήρεα τεύχη
καί τε χορῶν στεφάνωμα πικροὺς οἰκήτορας ἕξει,
τῶν δύο συντυχίαις κρυπτοῦ λόχου ἐξαναδύντων
οὐ πρόσθεν δὲ τέλος τὸ δ᾽ ἐπόψεται ἱερὸν ἦμαρ
πρὶν τὰ πάραλλα φύσιν χρεὼν ἀφίκηται

Τοῖς αὐτοῖς.

τοὺς τρίποδας περὶ βωμὸν ἰθώματα διὶ πρώτως
στήσασιν δεκάδων ἀριθμὸν δὶς πέντε δίδωσι
σὺν κύδει πολέμου γαῖαν μεσσηνίδα δαίμων.
ζεὺς γὰρ ἔνευσ᾽ οὕτως, ἀπάτη δέ σε πρόσθε τίθησι
ἦτ᾽ ὀπίσω τίσις ἐστὶ καὶ ἔνθεον ἐξαπατῶν.
ἔρδ᾽ ὅπῃ τὸ χρεών. ἄτη δ᾽ ἄλλοισι πρὸ ἄλλων.

Τοῖς αὐτοῖς.

ἔστε τράγος πίνησι νέδας ἑλικόρροον ὕδωρ
οὐκ ἔτι μεσσήνην ῥύομαι· σχεδόθεν γὰρ ὄλεθρος.

Τοῦ βάκιδος νυμφολήπτου γεγονότος.

καὶ τότε δὴ σπάρτης μὲν ἀπ᾽ ἀγλαὸν ἄνθος ὀλεῖται
μεσσήνη δ᾽ αὖθις οἰκήσεται ἤματα πάντα

Τοῦ τροφωνίου τοῖς θηβαίοις.

πρὶν δόρυ συμβαλέειν ἐχθροῖς, στήσασθε τρόπαιον
ἀσπίδα κοσμήσαντες ἐμὴν τὴν εἵσατο νηῷ

θοῦρος

θοῦρος ἀεισομένης μεσσηνίοις αὐτὰρ ἐγώ τοι
ἀνδρῶν δυσμενέων φθίσω στρατὸν ἀσπιστάων

Χρησμὸς δελφικός.

πατρὶ μέλει π̄ ἰοσης, π̄ υἱὸς δέ μοι ἐγγυάλοιο

Ἐκ τοῦ δοθέντος χρησμοῦ περὶ ἀρχίᾳ τῷ τῶν συρακουσῶν οἰκιστῇ.

ὀρτυγίη τις κεῖται ἐν ἠεροειδέϊ πόντῳ
θρινακίης καθύπερθεν ἵν' ἀλφειοῦ στόμα βλύζει
μισγόμενον πηγαῖς εὐρείης ἀρεθούσης.

Τοῖς ἀστυπαλαιεῦσι.

ὕστατος ἡρώων κλεομήδης ἀστυπαλαιεὺς
ὃν θυσίαις τιμᾶθ' ὡς μηκέτι θνητὸν ἐόντα.

Τῆς σιβύλλας.

αὐχοῦντες βασιλεῦσι μακηδόνες ἀργεάδησι
ὑμῖν κοιρανέων ἀγαθὸν καὶ πῆμα φίλιππος
ἤτοι ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ' ἄνακτας
θήσει, ὁ δ' ὁ πλότερος τιμὴν ἀπὸ πᾶσαν ὀλέσσει
δμηθεὶς ἑσπερίοισιν ὑπ' ἀνδράσιν ἠώοις τε

Διὸς τοῦ δωδωναίου.

φράζεο δ' ἄρειόν τε πάγον βωμούς τε θυώδεις
εὐμενίδων, ὅθι χρὴ λακεδαιμονίους σ' ἱκετεῦσαι
δουρὶ πιεζομένους, τὴν μὴ σὺ κτεῖνε σιδήρῳ
μὴ δ' ἱκέτας ἀδικεῖν, ἱκέται δ' ἱεροί τε καὶ ἁγνοί.

Τῷ φιλίππῳ.

ἔστεπται μὲν ὁ ταῦρος. ἔχει τέλος. ἔστιν ὁ θύσων.

Τοῖς ἀρκάσι.

ἔστι δὲ μαιναλίη δυσχείμερος ἔνθα τε κεῖται

ἄρκας

ἀρκὰς, ἀφ' οὗ δὴ πάντες ἐπίκλησιν καλέονται
ἔνθα σ' ἐγὼ κέλομαι στείχειν καὶ εὔφρονι θυμῷ
ἀρκάδ' ἀειραμένους κατάγειν ἐς ἄστυ ἐραννόν,
οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος
ἔνθα τε δὴ τέμενός τε θυηλάς τ' ἀρκάδι τεύχειν

Τοῖς Φιγαλεῦσι.

ἀρκάδες ἀζᾶνες βαλανηφάγοι, οἳ φυγάλειαν
νάσσασθ' ἱππολεχοῦς δηοῦς κρυπτήριον ἄντρον.
ἥκετε πευσόμενοι λιμοῦ λύσιν ἀλγινόεντος
μοῦνοι δὶς νομάδες, μοῦνοι πάλιν ἀγριοδίαιται
δηὼ μὲν σ' ἔπαυσε νομῆς δηὼ δὲ νομήων
ἔλκυσι σταχύων, καὶ νασοφάγον πάλι θῆκε,
νοσφισθεῖσα γέρα προτέρων τιμάς τε παλαιάς.
καί σ' ἀλληλοφάγον θήσει τάχα καὶ τεκνοδαίτην
εἰ μὴ πανδήμοις λοιβαῖς χόλον ἱλάσεσθε
σήραγγός τε μυχὸν θείαις κοσμήσετε τιμαῖς

Τοῖς θεσσαλοῖς.

λεῦκτρα τέ μοι σκιόεντα μέλει καὶ ἀλήσιον οὖδας
καί μοι τῷ σκεδάσου μέλετον πολυπενθέε κούρα
ἔνθα μάχη πολύδακρυς ἐπέρχεται, οὐδέ τις αὐτὴν
φράσσεται ἀνθρώπων πρὶν κούρειον ἀγλαὸν ἥβην
δωριέες ὀλέσωσ' ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ
τουτάκι δ' ἐστὶ κερησσὸς ἁλώσιμος, ἄλλοτε δ' οὐχί.

Τοῖς θηβαίοις βάκιδος.

ἀλλ' ὁπόταν τιθορεὺς ἀμφίονι τὲ ζήθῳ τὲ
χύτλα καὶ εὐχωλὰς μειλίγματ' ἐνὶ χθονὶ χεύῃ
θερμομένου ταύροιο κλυτοῦ μένει ἠελίοιο,

καὶ τότε

καὶ τότε δὴ πεφύλαξο πόληος κακὸν οὐκ ἀλαπαδνὸν
ἐρχόμενον· καρποὶ γὰρ ἀποφθινύθουσιν ἐν αὐτῇ
γαίης δρασσαμένων φάγου δ' ἄνθισμα φορόντων

Τοῖς αὐτοῖς.

Θηβαῖοι Κάδμοιο πόλιν καταναιετάοντες
αἴκ' ἐθέλητε πάτραν οἰκεῖν σὺν ἀμύμονι πλούτῳ
Ἕκτορος ὀστέα Πριαμίδου κομίσαντες ἐν οἴκους
ἐξ Ἀσίης Διὸς ἐννεσίῃς ἥρωα σέβεσθε.

Τῷ Ὀργίνῳ τῷ τοῦ Κλυμένου ἐρωμένῳ περὶ παίδων
Ὀργῖνε Κλυμένοιο πάϊ Πρεσβωνιάδαο
ὀψ' ἦλθες γενεὴν διζήμενος. ἀλλ' ἔτι καὶ νῦν
ἱστοβοῆϊ γέροντι νέην ποτίβαλλε κορώνην.

Τοῖς Φωκεῦσι.

συμβαλέω θνητόν τε καὶ ἀθάνατον μαχέσασθαι
νίκην δ' ἀμφοτέροις δώσω, θνητῷ δέ γε μᾶλλον

Τῆς Φημονόης προμάντιδος τῆς ἐν Δελφοῖς.

ἀγχοῦ δὴ βαρὺν ἰὸν ἐπ' ἀνδρὶ Φοῖβος ἐφήσει
σίντῃ Πελοποννήσοιο, φόνου δὲ Κρήσιοι ἄνδρες
χεῖρες ἀγιστεύουσι, τὸ δὲ κλέος οὔποτ' ὀλεῖται

Πελιάδων Δελφικῶν ἆσμα.

Ζεὺς ἦν. Ζεὺς ἐστί. Ζεὺς ἔσσεται. ὦ μεγάλε Ζεῦ.
Γᾶ καρποὺς ἀνίει, διὸ κλῄζετε μητέρα γαῖαν

Τῷ Θεμιστοκλεῖ περὶ Περσικῶν σκύλων.

μή μοι Περσῆος σκύλων περικαλλέα κόσμον
νηῷ ἐγκαταθῇς· οἶκον δ' ἀπόπεμπε τάχιστα

Φαεννίδος ἢ Πυθίας.

δὴ τότ' ἀμειψάμενος στενὸν πόρον Ἑλλησπόντου

αὐλήσει

οὐλήσει γαλατῶν ὀλοὸς στρατὸς, οἷς ἀθεμίστως
ἀσίδα πορθήσουσι, θεὸς δ' ἔτι κύντερα θήσει
πάγχυ μάλ' οἳ ναίουσι παρ' ἠϊόνεσσι θαλάσσης
εἰς ὀλίγον· τάχα γάρ σφιν ἀοσσητῆρα κρονίων
ὁρμήσει ταύροιο διοτρεφέος φίλον υἱὸν
ὃς πᾶσιν γαλάτῃσιν ὀλέθριον ἦμαρ ἐφήσει

Τοῖς ἀχαιοῖς.

γῆς πέλοπος ναέται καὶ ἀχαιΐδος, ὁππότε πυθὼ
ἤλθετε πευσόμενοι ὥς κε πτολίεθρον ἕλητε
ἀλλ' ἄγε δὴ φράζεσθε λάχος πόσον ἦμαρ ἕκαστον
λαῶν πινόντων ῥύεται πόλιν, ἥδε πέπωκεν
οὕτω γάρ κεν ἕλοιτε φανὰν πυργήρεα κώμην.

Τῷ ὁμήρῳ.

ὄλβιε καὶ δύσδαιμον ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι
πατρίδα δίζηαι, μητρὶς δέ τοι οὐ πατρὶς ἔστιν
ἔστιν ἴος νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα
δέξεται, ἀλλὰ νέων παίδων αἴνιγμα φυλάξαι

Περὶ τοῦ αὐτοῦ ὡς κυπρίου γενομένου.

καὶ τότ' ἐν εἰναλίῃ κύπρῳ μέγας ἔσσετ' ἀοιδὸς
ὅν τε θεμιστὼ τέξει ἐπ' ἀγροῦ δῖα γυναικῶν
νόσφι πολυκτεάνοιο πολυκλείτου σαλαμῖνος
κύπρον δὲ προλιπὼν διερὸς θ' ὑπὸ κύμασιν ἀρθεὶς
ἑλλάδος εὐρυχόρου μοῦνος κακὰ πρῶτος ἀείσας
ἔσσεται ἀθάνατος καὶ ἀγήραος. ἤματα πάντα.

Τοῖς ἀμφικτύοσι ὑπὲρ κίρρας.

οὐ πρὶν τῆσδε πόληος ὀρίψετε πύργον ἑλόντες
πρὶν κεν ἐμῷ τεμένει κυανώπιδος ἀμφιτρίτης

†ἄλ. ἀντὶ οἴνοπα πόντον

κῦμα ποτὶ κλύζοι κελαδοῦν † ἱεραῖσιν ἐπ' ἀκταῖς.

Χρησμὸς περὶ τρίποδος.

ἔκγονε μιλήτου τρίποδος πέρι φοῖβον ἐρωτᾷς
τὶς σοφίῃ πρῶτος πάντων τούτῳ τρίποδ' αὐδῶ.

Περὶ τοῦ αὐτοῦ.

μὴ πρότερον λήξει νεῖκος μερόπων καὶ ἰώνων
πρὶν τρίποδα χρύσειον ὃν ἥφαιστος βάλε πόντῳ,
ἐκ πόλιος πέμψητε, καὶ εἰς δόμον ἀνδρὸς ἵκηται
ὃς δεδάηκε τά τ' ὄντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα

Τῷ κινύρᾳ τῷ τοῦ ἀδώνιδος πατρί.

ὦ κινύρα βασιλεῦ κυπρίων ἀνδρῶν δασυπρώκτων
παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ἔχουσιν
ἡ μὲν ἐλαυνομένη λαβείοις ὁρμοῖς, ὁ δ' ἐλαύνων.

Τοῖς συβαρίταις.

εὐδαίμων συβαρῖτα πανευδαίμων σὺ μὲν αἰεὶ
ἐν θαλίῃσι θεῶν τιμῶν γένος αἰὲν ἐόντων
εὖτ' ἂν δὴ πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίσσῃς
τηνίκα σοι πόλεμός τε καὶ ἐμφύλιος στάσις ἥξει

Χρησμὸς ἐν ᾧ προσετάχθη τοῦ ἑξαμέτρου τὸ πεντάμετρον εὐδαίμων χαρίτων καὶ μελάνιππος ἔφυ.

θείας ἀγητῆρες ἐφημερίοι φιλότητος.

Χρησμὸς δοθεὶς ἰουλιανῷ βασιλεῖ. εἰσὶ δὲ κολακεύσεις.

ἀλλ' ὁπόταν σκήπτροισι τεοῖς περσήϊον αἷμα
ἄχρι σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς
δὴ τότε σε πρὸς ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα

ἀμφὶ

ἀμφὶ θυέλλῃσι κυκώμενον ἐν στροφάλιγξι
ῥίψαντα βροτέων ἐθέων πολύτλητον ἀνίην
ἥξεις δ' αἰθερίου φάεος πατρώϊον αὐλὴν
ἔνθεν ἀποπλαγχθεὶς μεροπήϊον εἰς δέμας ἦλθες.

ἄλλος περὶ αὐτῷ, ὅτε πρὸς κτησι-
φῶντα δίηγε.

γηγενέων ποτὲ φῦλον ἐνήρατο μητίετα ζεύς
ἔχθιστον μακάρεσσιν ὀλύμπια δώματ' ἔχουσι.
ῥωμαίων βασιλεὺς ἰουλιανὸς θεοειδὴς
μαρνάμενος περσῶν πόλιας καὶ τείχεα μακρὰ
ἄγχι μάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ
νωλεμέως δ' ἐδάμασσε πόλεις τε καὶ ἔθνεα πολλά.
ἀλλὰ καὶ ἑσπερίων ἀνδρῶν ἀλεμανικὸν οὖδας.
ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

Ενύπνιον παυσανίου.

βαῖνε δίκης ἆσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

Χρησμὸς περὶ τῶν ῥωμαίων πρὸς φί-
λιππον πόλεμον.

ἀλλ' ὁπόταν τρώων γενεὰ καθύπερθε γένηται,
φοινίκων ἐν ἀγῶνι, τότ' ἔσσεται ἔργα ἄπιστα.
πόντος μὲν λάμψει πυρὶ ἀσπέτῳ, ἐκ δὲ κεραυνῶν
πρηστῆρες μὲν ἄνω διὰ κύματος ἀΐξουσι
ἄμμιγα σὺν πέτρᾳ, ἡ δὲ στηρίξεται αὐτοῦ
οὐ φατὸς ἀνθρώποις νῆσος, καὶ χείρονες ἄνδρες
χερσὶ βιησάμενοι τὸν κρείσσονα νικήσουσι.

Χρησμὸς καὶ πρῶτον ἡρῷον μέτρον.

συμφέρετε πτερὰ οἰωνοὶ κηρόν τε μέλισσαι.

Σιβύλλας.

ἀλλ' ὁπόταν πρωτεὺς καὶ ἰκῶν ὄχ' ἄριστος ἁπάντων
ζωὸς ὀριγδούπου τέμενος κάτα, πῦρ ἀνακαύσας
εἰς φλόγα πηδήσας ἔλθῃ εἰς μακρὸν ὄλυμπον
δὴ τότε πάντες ὁμῶς οἱ ἀρούρης καρπὸν ἔδουσι
νυκτιπόλον τιμᾶν κέλομαι ἥρωα μέγιστον
σύνθρονον ἡφαίστῳ τε ἡρακλῆϊ ἄνακτι

Βάκιδος. δοκεῖ δὲ χλευασμός.

ἀλλ' ὁπόταν καὶ ἰκὸς πολυώνυμος εἰς φλόγα πολλὴν
πηδήσῃ δόξης ὑπ' ἐριννύος θυμὸν ὀρινθεὶς
δὴ τότε τοὺς ἄλλους καὶ ἀλώπεκας οἵ οἱ ἕπονται
μιμεῖσθαι χρὴ πότμον ἀποιχομένοιο λύκοιο.
ὃς δέ κε δειλὸς ἐὼν φεύγῃ μένος ἡφαίστοιο
λάεσσιν βαλέειν τοῦτον τάχα πάντας ἀχαιοὺς
ὡς μὴ ψυχρὸς ἐὼν θρασυνηγορέειν ἐπιχειρῇ
χρυσῷ σαξάμενος πήρην μάλα πολλὰ δανείζων
ἐν καλαῖς πάτραισιν ἔχων τρὶς πέντε τάλαντα

Σιβύλλας φερόμενος περὶ ἀλεξάνδρου τοῦ ἀβώνου τειχίτου μάντεως.

εὐξείνου πόντοιο παρ' ἠϊόσ' ἀγχὶ σινώπης
ἔσται τις κατὰ τύρσιν ὑπ' αὐσονίοισι προφήτης
ἐκ πρώτης δεικνὺς μονάδος τριοσσῶν δεκάδων τε
πένθ' ἑτέρας μονάδας καὶ εἰκοσάδα τρισάριθμον
ἀνδρὸς ἀλεξητῆρος ὁμωνυμίην τετράκυκλον

Διογενοῦς εἰρημένου περὶ παιδὸς ἔρωτος.

λήξει παῖς σὸς ἔρωτος ὅταν κούφῃ νεότητι
κυπρίδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ.

ὀργὴν

ὀργὴν οὖν πρηΰνου ἀμαθέα, μηδ' ἀποτείνειν
κωλύων, πράσσεις γὰρ ἐναντία σεῖο λογισμοῖς
ἢν δὲ ἐφ' ἡλικίην ἔλθῃ λήθην τάχα ἕξει
φίλτρων, καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς.

Χρησμὸς δοθεὶς τῷ κάδμῳ.

φράζεο δή μοι μῦθον ἀγήνορος ἔκγονε κάδμε
ἠοῦς ἐγρόμενος προλιπὼν ἱερὴν πυθῶ δῖαν,
ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί,
τὴν διά τε φλεγύων καὶ φωκίδος, εὖτ' ἂν ἵκηαι
βουκόλον ἠδὲ βόας κηρειτρεφέος πελάγοντος
ἔνθά δὲ προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον,
ἥκεν δὴ νώτοισι μετ' ἀμφοτέροισι ἔχῃσι
λευκὸν σῆμα ἑκάτερθε περίπλοκον ἠΰτε μήνης.
τὴν δὲ σὺ ἡγεμόνα σχεῖν ἀτρέπτοιο κελεύθου
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει
ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
ἥξῃ τε κλίνῃ τε πέδῳ γόνυ ποιήεντι
καὶ τό τε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς γαίῃ δ' ὅταν ἱρὰ ῥέξῃς
ὄχθῳ ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν
δεινὸν ἐνυαλίου πέμψας φύλακ' ἄϊδος εἴσω
καὶ σύ γ' ἐπ' ἀνθρώπους ὀνομάκλυτος ἔσσεαι αὖθις
ἀθανάτων λεχέων ἀντήσας ὄλβιε κάδμε.

Τοῖς μετ' ἀρχίου.

χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες
ἤλθετ' ἐρυσσόμενοι φοῖβον τίνα γαῖαν ἵκησθε
ἀλλά γε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλησθε

πλοῦτον ἔχειν κτεάνων, ἢ τερπνοτάτην ὑγίειαν.

Τῷ λαΐῳ περὶ τοῦ οἰδίποδος πατρί.

λάϊε λαβδακίδη παίδων γένος ὄλβιον αἰτεῖς.
δώσω τοι φίλον υἱόν, ἀτὰρ πεπρωμένον ἐστὶ
σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος, ὡς γὰρ ἔνευσε
ζεὺς κρονίδης πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας
οὗ φίλον ἥρπασας υἱόν, ὁ δ' ηὔξατο σοι τάδε πάντα.

Τῷ βάττῳ περὶ ἀποικίας εἰς λιβύην.

βάττε πρόσθε κακόν. τὸ δὲ δεύτερον ἐσθλὸν ἐρεῦνα
ἔρχεο λεῖφ' ἁλίαν χώραν. ἤπειρος ἀμείνων.
ἕως πρότερον χόλον ἔκβαλε πείθει πείθων
στέργων γὰρ ὁσίως τὴν μισεῖς πολλ' ἀθεμίστως
οἷα τ' ἀνὴρ ῥέξει, ποῖον τέλος αὐτὸν ἱκάνει.

Χρησμὸς περὶ τῆς τοῦ ὀρφέως τελευτῆς.

πιερίδες αἰνοπαθεῖς στυγνὴν ἐκτίσατε λώβην,
ὀρφέ' ἀποκτείναντες ἀπόλλωνος φίλον υἱόν.

Τῷ φιλίππῳ.

ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα νικήσεις

Τῷ κροίσῳ.

σαυτὸν γιγνώσκων εὐδαίμων κροῖσε περάσεις

Ἀπόλλωνος μιλησίου πολίτου περὶ ψυχῆς.

ψυχὴ μὲν μέχρις οὗ δεσμοῖς πρὸς σῶμα κρατεῖται
φθαρτὰ νοοῦσα πάθη θνηταῖς ἀλγηδόσιν εἴκει
ἡνίκα δ' ἀνάλυσιν βροτέην μετὰ σῶμα μαρανθὲν
ὠκίστην εὕρηται ἐς αἰθέρα πᾶσα φορεῖται
αἰὲν ἀγήραος οὖσα, μένει δ' εἰσπάμπαν ἀτειρής
πρωτόγονος γὰρ τοῦτο θεοῦ διέταξε πρόνοια.

Ἀπόλλωνος παρὰ ἀναχέρσισι περὶ μύσωνος τοῦ χηνέως.
οἰταῖόν τινά φημι μύσων' ἐν χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι

Ἀπὸ ψυχομαντείου.

ἤρου νήπιε ἤλυσιε φρένας ἀνδρῶν.
οὐθ' υἱὸς κεῖται μοιριδίῳ θανάτῳ,
οὐκ ἦν γὰρ ζώειν αὐτῷ καλὸν οὔτε γονεῦσι.

Τῷ κροίσῳ.

κροῖσος ἅλυν διαβὰς μεγάλην ἀρχὴν † διαλύσει

Τοῦ ἀπόλλωνος.

εἴκοσι τὰς πρὸ κυνὸς καὶ εἴκοσι τὰς μετέπειτα
οἴκῳ ἐνὶ σκιερῷ διὸ νύσῳ χρᾶσθαι ἰατρῷ.

† ἄλ. καταλύσει

Ἄδηλος τοῖς ἀθηναίοις.

ἥξει δωρικὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ.

Χρησμὸς τοῖς θεσσαλοῖς δοθείς.

φράζεο δὴ κωφοῦ τ' ἀκοὴν τυφλοῖό τε δόρξιν

Ἀπολλοφάνει. περὶ ἀσκληπίου.

ὦ μέγα χάρμα βροτοῖς βλαστὼν ἀσκλήπιε πᾶσιν
ὃν φλεγυηῒς ἔτικτεν ἐμῇ φιλότητι μιγεῖσα
ἱμερόεσσα κορωνὶς ἐνὶ κραναῇ ἐπιδαύρῳ

Τοῖς σμυρναίοις.

τρὶς μάκαρες κεῖνοι καὶ τετράκις ἄνδρες ἔσονται
οἳ πάγον οἰκήσουσι πέρην ἱεροῖο μέλητος.

Τοῖς ἀθηναίοις. σιβύλλης. περὶ τῆς ἥττης
ἐν αἰγὸς ποταμοῖς.

καὶ τότ' ἀθηναίοισι βαρύστονα κήδεα θήσει
ζεὺς ὑψιβρεμέτης οὗ περ κράτος ἐστὶ μέγιστον.

νηυσὶ φορέει πολέμοιο μάχην καὶ δηϊότητα
ὀλλυμένοις δολεροῖσι τρόποις κακότητι νομήων.

Τοῖς αὐτοῖς μουσαίου περὶ τῆς αὐτῆς.

καὶ γὰρ ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος
ἡγεμόνων κακότητι, παραιφασίη δέ τις ἔσται
ἢ γ' ἄλις ἡμήσουσι πόλιν τίσουσι δὲ ποινήν.

Ηροφίλη σιβύλλα περὶ ἑαυτοῦ.

εἰμὶ δ' ἐγὼ γεγαυῖα μέσον θνητοῦ τε θεᾶς τε,
νύμφης ἀθανάτης πατρὸς δ' αὖ κητοφάγοιο
μητρόθεν ἰδογενής, πατρὶς δέ μοι ἐστὶν ἐρυθρὴ
μάρπησσος, μητρὸς ἱερή, ποταμὸς δ' αἰδωνεύς.

Χρησμὸς περὶ ἡρακλέους ἀμφιτρύωνος.

ἄλλος ἄρ' ἡρακλέης τιρύνθιος οὐχὶ κανωβεύς.

Χρησμὸς περὶ τῆς ἐν χαιρωνείᾳ μάχης.

τὴν δ' ἐπὶ θερμώδοντι μάχην μένε παμμέλαν ὄρνι
τήνει τοι κρέα πολλὰ παρέσεται ἀνθρώπεια.

Χρησμὸς δοθεὶς ἀθηναίοις.

αὐδῶ ἐρεχθείδαισιν ὅσοι πανδίονος ἄστυ
ναίετε καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτάς
μεμνῆσθαι βάκχοιο. καὶ εὐρυχόρους κατ' ἀγυιὰς
ἱστάναι ὡραίων βρομίῳ χάριν ἄμμιγα πάντας
καὶ κνισᾶν βωμοῖσι κάρη στεφάνοις πυκάσαντας

Χρησμὸς πρὸς σόλωνα.

εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκοῦον.

Χρησμὸς δοθεὶς αἰγεῖ.

ἀσκοῦ τὸν προὔχοντα πόδα μέγα φέρτατε λαῶν
μὴ λύσῃς πρὶν δῆμον ἀθηνῶν εἰσαφικέσθαι

Τῷ

Τῷ θησεῖ περὶ τῶν ἀθηνῶν.

αἰγεΐδη θησεῦ πιτθηΐδος ἔκγονε κούρης
πολλαῖς τοι πολίεσσι πατὴρ ἐμὸς ἐγκατέθηκε
τέρματα καὶ κλωστῆρας ἐν ὑμετέρῳ πτολιέθρῳ.
ἀλλὰ σὺ μή τι λίην πεπονημένος ἔνδοθι θυμόν
βουλεύειν, ἀσκὸς γὰρ ἐν οἴδματι ποντοπορεύσει.

Σιβύλλας περὶ τῆς αὐτῆς.

ἀσκὸς βαπτίζῃ· δῦναι δέ τοι οὐ θέμις ἐστίν.

Ηρῶον θυσίας περὶ σικυωνίου ἱππολύτου προ/σερχομένου ὃς ἐγένετο ἐρώμενος ἀπόλλωνος.

καὶ δ' αὖ θ' ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει.

Τῷ σόλωνι περὶ σαλαμῖνος.

ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
ἵλασο τοὺς δὴ κόλπος ἀσωπιὰς ἀμφικαλύπτει
οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύοντα.

Τῷ σόλωνι.

ἧσο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον
εὐθύνων, πολλοί τοι ἀθηναίων ἐπίκουροι.

Ενυύπνιον λουκούλλου.

τί κνώσσεις μεγάθυμε λέων νεβροὶ δέ τοι ἐγγύς.

Τῆς σιβύλλας περὶ τῆς ἐν χαιρωνείᾳ μάχης

τῆς ἐπὶ θερμώδοντι μάχης ἀπάνευθε γενοίμην
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι
κλαίει ὁ νικηθεὶς ὁ δὲ νικήσας ἀπόλωλε.

Χρησμὸς περὶ ἀράτου τοῦ σικυωνίου.

βουλεύῃ σικυὼν ζωάγριον ἀμφ' ἀράτου

ἀμφ' ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος
ὡς τὸ βαρυνόμενον τῷ δ' ἀνδρὶ καὶ τὸ βαρῦνον
γαίης ἐς ἀστένημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

Χρησμὸς ἀμφίβολος ἀλεξάνδρῳ μολοσσῷ.

πανδόσια τρικόλωνε πολύν ποτε λαὸν ὀλέσσης

Τῷ φαλάνθῳ οἰκιστῇ τάραντος.

σατύρεόν τοι δῶκα τάραντά τε πίονα δῆμον
οἰκῆσαι, καὶ πῆμα ἰαπυγέεσσι γενέσθαι.

Περὶ σωκράτους.

σοφὸς σοφοκλῆς σοφώτερος δ' εὐριπίδης
ἀνδρῶν δ' ἁπάντων σωκράτης σοφώτατος.

Χρησμὸς δελφικὸς περὶ τῶν ἐφορμώντων γαλατῶν.

ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις

Χρησμὸς δοθεὶς ἀννίβᾳ.

λίβυσσα κρύψει βῶλος ἀννίβα δέμας.

Ενύπνιον κίμωνος. ὡς κυνὸς φωνήσης.

ἔρχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσι.

Μυσκέλλῳ περὶ τῆς κρότωνος κτίσει.

μύσκελλε βραχύνωτε, παρὲξ σέθεν ἄλλο ματεύων
κλάσματα θηρεύεις ὀρθὸν δ' ὅτι δῷ τις ἐπαίνει

Αντιόχῳ.

ἀντιόχῳ βασιλῆϊ τάδε χρᾷ φοῖβος ἀπόλλων.
κτιζέμεναι πτολίεθρον ἀγακλεὲς ὡς ἐκέλευσε
ζεὺς ὑψιβρεμέτης πέμψας δριούνιον ἑρμῆν.

Χρησμός.

εὐδαίμον πτολίεθρον ἀθηναίης ἀγελείης

πολλὰ

πολλὰ παθὼν καὶ πολλὰ ἰδὼν καὶ πολλὰ μογήσας
αἰετὸς ἐν νεφέλῃσι γενήσεται ἤματα πάντα.

Χρησμὸς δοθεὶς Μενελάῳ καὶ Ἀλεξάνδρῳ.

ἔπλε δύω βασιλῆες ὁ μὲν Τρώων ὁ δ' Ἀχαιῶν
οὐκέθ' ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβη τε
ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν.
αὐτὰρ ὁ πῶλον ἑλεῖν. τί δὲ μήσεαι εὐρύοπα Ζεύς.

Μεγαρεῦσι περὶ Βυζαντίου.

ὄλβιοι οἳ κείνην πόλιν ἄνερες οἰκήσουσι.
ἀκτῆς Θρηϊκίης ὑγρὸν παρ' ἀκρὸν στόμα πόντου
ἔνθ' ἰχθῦς ἔλαφός τε νόμον βόσκουσι τὸν αὐτὸν
τέλλειν δ' ὡς ὤκιστα τὰ δ' ἐς φρένα πάντα λαβόντα.

Χρησμὸς Πυθικὸς δοθεὶς Ἀλεξάνδρῳ.

Αἰακίδη προφύλαξο μολεῖν Ἀχερούσιον ὕδωρ
Πανδοσίην θ' ὅθι τοι θάνατος πεπρωμένος ἐστί.

Ἀπόλλω τοῦ μεγάλου Πυθικός.

θάρσει ταυρόκερως ἕξεις βασιληΐδα τιμὴν
καὶ παίδων παῖδες τούτων γε μὲν οὐκέτι παῖδες.

Τὰ τῶν Σιβυλλῶν φερόμενα ἔπη.

εἷς θεὸς ὃς μόνος ἐστὶν ὑπερμεγέθης ἀγένητος.
ἀλλὰ θεὸς μόνος εἷς πανυπέρτατος, ὃς πεποίηκεν
οὐρανὸν ἠέλιόν τε καὶ ἀστέρας ἠδὲ σελήνην,
καρποφόρον γαῖάν τε καὶ ὕδατος οἴδματα πόντου
αὐτὸν δὴ μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου
ὃς μόνος εἰς αἰῶνα καὶ ἐξ αἰῶνος ἐτύχθη.

Ἄλλης.

μοῦνος γὰρ θεός εἰμι καὶ οὐκ ἔστιν θεὸς ἄλλος.

τί ὁ θεός ἀπόλλωνος κολοφωνίου.

αὐτοφυής, ἀδίδακτος, ἀμήτωρ, ἄστυφέλικτος.
οὔνομα μὴ δὲ λόγῳ χωρούμενος, ἐν πυρὶ ναίων.
τοῦτο θεός· μικρὰ δὲ θεοῦ μερὶς ἄγγελοι ἡμεῖς

Τοῦ ἀπόλλωνος.

δαίμονες οἳ φοιτῶσι περὶ χθόνα καὶ περὶ πόντον
ἀκάματοι δάμνανται ὑπαὶ μάστιγι θεοῖ.

Τῆς ἐρυθραίας.

οὐ δύνατ' ἀνδρός.
ἐκ μυχῶν μήτρας τε θεὸς τετυπωμένος εἶναι.

Τῆς ἄλλης.

εἰκὼν ἔστ' ἄνθρωπος ἐμὴ λόγον ὀρθὸν ἔχουσα.

Σιβύλλης.

ὃς μόνος ἐστὶ θεὸς κτίστης ἀκράτητος ὑπάρχων
αὐτὸς δ' ἐστήριξε τύπον μορφῆς, μερόπων τε
αὐτὸς ἔμιξε φύσιν πάντων γενετῆς βιότοιο.

Τῆς ἐρυθραίας,

οἱ δὲ θεὸν τιμῶντες ἀληθινὸν ἀέναόν τε
ζωὴν κληρονομοῦσι τὸν αἰῶνος χρόνον αὐτοὶ
οἰκοῦντες παραδείσου ὁμῶς ἐριθηλέα κῆπον.

Σιβύλλης.

ἄνθρωπον πεπλάσθαι θεοῦ παλάμαις ἐνὶ αὐτῆς.
ὃν καὶ ἐπλάνησεν ὄφις δολίως ἐπὶ μοῖραν ἀνελθεῖν
τοῦ θανάτου, γνῶσιν τε λαβεῖν ἀγαθοῦ τε κακοῦ τε.

Μιλησίου ἀπόλλωνος.

θνητὸς ἔην κατὰ σάρκα, σοφὸς τερατώδεσιν ἔργοις
ἀλλ' ὑπὸ χαλδαίων κριτῶν ὅπλοισιν ἁλωθεὶς

γόμφοις

γόμφοις καὶ σκολόπεσσι πικρὴν ἀνέτλησε τελευτήν.

Σιβύλλας.

νεκρῶν δὲ ἀνάστασις ἔσται.
καὶ χωλῶν δρόμος ὠκὺς καὶ δὴ κωφὸς ἀκούσει,
καὶ τυφλοὶ βλέψουσι, λαλήσουσ᾽ οὐ λαλέοντες.

Σιβύλλης.

ἐν ἄρτοις ἅμα πέντε καὶ ἰχθύεσσι δυοῖσι
ἀνδρῶν χιλιάδας ἐν ἐρήμῳ πέντε κορέσσει,
καὶ τὰ περισσεύοντα λαβὼν μετὰ κλάσματα χειρῶν
δώδεκα πληρώσει κοφίνους εἰς ἐλπίδα λαῶν.

Σιβύλλης.

τοὺς ἀνέμους παύσει δὲ λόγῳ, στρώσει δὲ θάλασσαν
μαινομένην ἐν ποσὶν ἑοῖς πίστει τε πατήσας.

ἄλλης.

κύματα πεζεύσει νόσον ἀνθρώπων ἀπολύσει
ζήσει τεθνηῶτας ἀπώσεται ἄλγεα πολλοῖς
ἐκ δὲ μιᾶς πηγῆς ἄρτου κόρος ἔσσεται ἀνδρῶν.

Τῆς ἐρυθραίας.

φήσουσι σιβύλλην.
μαινομένην ψεύστριαν. ἐπὰν δὲ γένηται ἅπαντα
τηνίκα μοῦ μνήμην ποιήσετε. κοὐκέτι μ᾽ οὐδεὶς
μαινομένην φήσει τὴν θεοῦ μεγάλοιο προφῆτιν.

Σιβύλλης.

οἰκτρός, ἄτιμος, ἄμορφος ἐν οἰκτροῖς ἐλπίδα δώσει.

Σιβύλλης.

εἰς ἀνόμους χεῖρας καὶ ἀπίστων ὕστερον ἥξει
δώσουσι δὲ θεῷ ῥαπίσματα χερσὶν ἀνάγνοις

καὶ στόμα-

καὶ στόμασιν μιαροῖσι πτύσματα φαρμακόεντα.
δώσει δ' εἰς μάστιγας ἁπλῶς ἁγνὸν τότε νῶτον.
καὶ κολαφιζόμενος σιγήσει μή τις ἐπιγνῷ
τίς λόγος ἢ πόθεν ἦλθεν ἵνα φθιμένοισι λαλήσῃ
καὶ στέφανον φορέσει τὸν ἀκάνθινον.

Σιβύλλης.

εἰς δὲ τὸ βρῶμα χολὴν καὶ εἰς δίψαν ὄξος ἔδωκαν
τῆς ἀφιλοξενίης ταύτην δείξουσι τράπεζαν.

Ἄλλης.

αὐτὴ γὰρ σὺ ἄφρων τὸν σὸν θεὸν οὐκ ἐνόησας
παίζοντα θνητοῖσι νοήμασιν. ἀλλ' ἐν ἀκάνθαις
ἔστεψας στεφάνῳ, φοβερὴν τε χολὴν ἐκέρασας.

Σιβύλλης.

ναοῦ δὲ σχίσθη τὸ πέτασμα καὶ ἤματι μέσσῳ
νὺξ ἔσται σκοτόεσσα πελώριος ἐν τρισὶν ὥραις.

Σιβύλλης.

καὶ θανάτου μοῖραν τελέσει τρίτον ἦμαρ ὑπνώσας.
καὶ τότ' ἀπὸ φθιμένων ἀναδείξας εἰς φάος ἥξει,
πρῶτος ἀναστάσεως κλητοῖς ἀρχὴν ὑποδείξας.

Σιβύλλης.

καὶ τότ' ἀπ' ἠελίοιο πέμψει θεὸς βασιλῆα.
ὃς πᾶσαν γαῖαν παύσει πολέμοιο κακοῖο.

Σιβύλλης.

τρίψουσι δ' εἴδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα
ἔργα δὲ χειροποιητὰ θεῶν συνεκκαύσονται.

Σιβύλλης.

ὁππότε καὶ τὸ λάβῃ τέλος αἴσιμον, ἠδὲ βροτοῖσι

ἔξεται

ἥξει τοι τότε δὴ κρίσις ἀθανάτοιο θεοῖο
ἥξει ἐπ᾽ ἀνθρώπους, μεγάλη κρίσις ἠδὲ καὶ ἀρχή.
τάρταρον δὲ χάος τότε δείξει γαῖα χανοῦσα
ἥξουσιν δ᾽ ἐπὶ βῆμα θεοῦ βασιλῆος ἅπαντες.

Σιβύλλης.

οὐρανὸν εἱλίξω, γαίης κευθμῶνας ἀνοίξω
καὶ τότ᾽ ἀναστήσω νεκροὺς μοῖραν ἀναλύσας
καὶ θανάτου κέντρον καὶ ὕστερον εἰς κρίσιν ἄξω
κρίνων εὐσεβέων καὶ δυσσεβέων βίον ἀνδρῶν

Σιβύλλης.

δύσπιστον γὰρ ἅπαν μερόπων γένος. ἀλλ᾽ ὅταν ἤδη
κόσμου καὶ θνητῶν ἔλθῃ κρίσις ἣν θεὸς αὐτὸς
ποιήσει κρίνων ἀσεβεῖς θ᾽ ἅμα εὐσεβέας τε
καὶ τότε δυσσεβέας μὲν ὑπὸ ζόφον ἐν πυρὶ πέμψει
ὅσσοι δ᾽ εὐσεβέουσι πάλιν ζήσουσ᾽ ἐπὶ γαίης
πνεῦμα θεοῦ δόντος τιμὴν θ᾽ ἅμα καὶ βίον αὐτοῖς.

Σιβύλλης.

πάσης γὰρ γαίης τότε θνητῶν σύγχυσις ἔσται
αὐτὸς ὁ παντοκράτωρ ὅταν ἔλθῃ βήματι κρῖναι
ζώντων καὶ νεκύων ψυχὰς καὶ κόσμον ἅπαντα

Σιβύλλης.

κλῦτε δέ μου μέροπες, βασιλεὺς αἰώνιος ἄρχει.

Σιβύλλης.

καὶ πόλιν ἣν ἐποίησε θεὸς ταύτην ἐποίησε
λαμπροτέραν ἄστρων καὶ ἡλίου ἠδὲ σελήνης.

Τῆς κυμαίας.

αἱ δὲ λύκοι σὺν ἄρνεσ᾽ ἐν οὔρεσιν ὁμιλοῦνται

χόρτον

χόρτον πὰρ λύγκες τ' ἐρίφοισιν ἅμα βοσκήσονται
ἄρκτοι σὺν μόσχοισι θ' ὁμοῦ καὶ πᾶσι βροτοῖσι,
σαρκοβόρος τε λέων φάγεται ἄχυρον παρὰ φάτναις
σὺν βρέφεσί τε δράκοντες ἀμάτροσι κοιμήσονται.

Σιβύλλης.

καὶ τότε δὴ χαρὰν μεγάλην θεὸς ἀνδράσι δώσει
καὶ γὰρ γῆ καὶ δένδρα καὶ ἄσπετα θρέμματα γαίης
δώσουσιν καρπὸν τὸν ἀληθινὸν ἀνθρώποισι
οἴνου καὶ μέλιτος γλυκέος λευκοῦ τε γάλακτος,
καὶ σίτου ὅπερ ἐστὶ βροτοῖς κάλλιστον ἁπάντων

Σιβύλλης.

εὐσεβέων δὲ μόνων ἁγία χθὼν πάντα τάδ' οἴσει
νᾶμα μέλιτος ἀκροῦ ἀπὸ πέτρης ἠδ' ἀπὸ πηγῆς
καὶ γάλακτ' ἀμβροσίης ῥεύσει πάντεσσι δικαίοις.

Τῆς ἐρυθραίας.

ἄφθαρτος κτίστης αἰῶνος αἰθέρα ναίων
τοῖς τ' ἀκάκοις ἄκακον προφέρων πολυμείζονα μισθὸν
τοῖς δὲ κακοῖς ἀδίκοις τε χόλον καὶ θυμὸν ἐγείρων.

Σιβύλλης.

φεῦγε δὲ λατρείας ἀνόμους θεῷ ζῶντι λάτρευε
μοιχείας τε φύλαξαι, καὶ ἄρσενος ἄκριτον εὐνὴν
καὶ ἰδίαν γενεὰν παίδων τρέφε, μὴ δὲ φόνευε
καὶ γὰρ τ' ἀθάνατος κεχολώσεται ὅσκεν ἁμάρτῃ.

Σιβύλλης.

ἐρχομένης ὀργῆς μεγάλης ἐπὶ κόσμον ἀπειθῆ
ἔσχατον εἰς αἰῶνα θεοῦ μηνύματα φαίνω
πᾶσι προφητεύουσα κατὰ πόλιν ἀνθρώποισι.

Σιβύλλης

Σιβύλλης.

μήποτε θυμωθεὶς θεὸς ἄφθιτος ἐξαπολέσσῃ
πᾶν γένος ἀνθρώπων βίοτόν τε καὶ φῦλον ἀναιδὲς
δεῖ στέργειν γενετῆρα θεὸν σοφὸν αἰὲν ἐόντα.

Σεράπιδος. θούλιδι βασιλεῖ αἰγύπτου.

πρῶτα θεός, μετέπειτα λόγος καὶ πνεῦμα σὺν αὐτῷ
σύμφυτα δ᾽ ἐν ἑνὶ πάντα τὰ δ᾽ ἐστι καὶ εἰς ἓν ἰόντα
οὗ κράτος αἰώνιον. σὺ δὲ ὠκέσι ποσσὶ βάδιζε
θνητέ, ἄδηλον διάγων βιότοιο τελευτήν.

Πυθικὸς χρησμὸς δοθεὶς αὐγούστῳ.

παῖς ἑβραῖος κέλεταί με θεοῖς μακάρεσσιν ἀνάσσων
τόνδε δόμον προλιπεῖν, καὶ ἀΐδην αὖθις ἱκέσθαι
λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων.

# ΣΤΙΧΟΙ ΣΙΒΥΛΛΑΣ

## ΤΗΣ ΕΡΥΘΡΑΙΑΣ ΠΕΡΙ ΤΟΥ

Κυρίου ἡμῶν ἔχοντες ἀκροστιχίδα τήνδε
Ἰησοῦς. Χριστὸς θεοῦ. υἱὸς σωτὴρ σταυρός.

ΙΔρώσει γὰρ χθὼν κρίσεως σημεῖον, ὅτ᾽ ἔσται
ἥξει δ᾽ οὐρανόθεν βασιλεὺς αἰῶσιν ὁ μέλλων
σάρκα παρὼν κρίναι πᾶσαν καὶ κόσμον ἅπαντα
ὄψονται δὲ θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι

ὕψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο
σαρκοφόρων ψυχὰς δ' ἀνδρῶν ἐπὶ βήματι κρινεῖ
χέρσος ὅτ' ἂν ποτὲ κόσμος ὅλος καὶ ἄκανθα γένηται
ῥίψωσι τ' εἴδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα
ἰχνεύων ῥήξει τε πύλας εἱρκτῆς ἀΐδαο
σὰρξ νεκρῶν τότε πᾶσ' εἰς ἐλεύθερον φάος ἥξει
τῶν ἁγίων ἀνόμους τε, τὸ πῦρ αἰῶσιν ἐλέγξει
ὁππόσα τις πράξας ἔλαθεν τότε πάντα λαλήσει.
στήθεα γὰρ ζοφόεντα θεὸς φωστῆρσιν ἀνοίξει
θρῆνος δ' ἐκ πάντων ἔσται καὶ βρυγμὸς ὀδόντων
ἐκλείψει σέλας ἠελίου ἄστρων τε χορεῖαι
οὐρανὸν εἱλίξει μήνης δέ τε φέγγος ὀλεῖται
ὑψώσει δὲ φάραγγας ὀλεῖ δ' ὑψώματα βουνῶν
ὕψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται
ἶσά τ' ὄρη πεδίοις ἔσται καὶ πᾶσα θάλασσα
οὐκ εἰς πλοῦν ἕξει γῆ γὰρ φρυχθεῖσα κεραυνῷ
σὺν πηγαῖς ποταμοὶ καχλάζοντες λείψουσι
σάλπιγξ δ' οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει
ὠρύουσα μύσος μέλλον καὶ πήματα κόσμου
ταρταρεόντε χάος δείξει τότε γαῖα χανοῦσα
ἥξουσι δ' ἐπὶ βῆμα θεοῦ βασιλῆες ἅπαντες
ῥεύσει δ' οὐρανόθεν ποταμὸς πυρὸς ἠδὲ θεείου.
σῆμα δέ τοι τόδε πᾶσι βροτοῖς ἀειδείκετον οἷον
τὸ ξύλον ἐν πιστοῖς τὸ κέρας τὸ ποθούμενον ἔσται
ἀνδρῶν εὐσεβέων ζωὴ πρόσκομμά τε κόσμου
ὕδασι φωτίζον κλητοὺς ἐν δώδεκα πηγαῖς.
ῥάβδος ποιμαίνουσα σιδηρείη γε κρατήσει

οὗτος ὁ νῦν περιγραφεὶς ἐν ἀκροστίχοις θεὸς ἡμῶν
σωτὴρ ἀθάνατος βασιλεὺς ὁ παθὼν ἕνεχ' ἡμῶν

# ΓΡΙΦΟΙ

## ΚΛΕΟΒΟΥΛΟΥ.

Εἷς ὁ πατὴρ, παῖδες δὲ δυώδεκα, τῶν δὲ δ' ἑκάστῳ
παῖδες τριηκόντα διάνδιχα εἶδος ἔχουσαι
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι.
ἀθάνατοι δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

Ἄλλος.

οἶδ' ἐγὼ ὃς νέος ὢν ἐστὶν βαρύς. ἂν δὲ γηράσῃ ἢ
ἄπτερος ὢν κούφως πέτεται καὶ γῆν ἀφανίζει

Τῆς σαπφοῦς.

ἔστι φύσις θήλεια βρέφη σώζουσ' ὑπὸ κόλποις
αὐτῆς, ταῦτα δ' ἄφωνα βοὴν ἵστησι γεγωνόν,
καὶ διαπόντιον οἶδα καὶ ἠπείρου διὰ πάσης
οἷς ἐθέλει θνητῶν τοῖς δ' οὐ παρεοῦσιν ἀκούειν
ἔξεστιν, κωφὴν δ' ἀκοῆς αἴσθησιν ἔχουσι.

Θεοδέκτου.

τῆς φύσεως ὅσα γαῖα τρέφει τροφὸς, οὐδ' ὅσα πόντος
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν,
ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη
ἐν δὲ μέσαις ἀκμαῖς μικρὰ, γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ, καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

Ἄλλος.

εἰσὶ κασίγνηται διτταὶ, ὧν ἡ μία τίκτει
τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσα πάλιν γ' ὑπὸ ταύτης
τεκνοῦται.

Ἄλλος.

ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα,
οὕτω συγκόλλως ὥστε σύναιμα ποιεῖν.

Ἐπιτάφιος Θρασυμάχου τοῦ σοφιστοῦ.

τοὔνομα θῆτα. ῥῶ. ἄλφα. σὰν ῦ. μῦ. ἄλφα. χῖ. οὖ. σὰν.
πατρὶς χαλκηδὼν, ἡ δὲ τέχνη σοφίη.

Γρῖφος ἄλλος.

ἐν φανερῷ γενόμαν, πάτρην δέ μοι ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει, μητὴρ δ' ἐστὶν ἀριθμοῖο πατρός.

Αἴνιγμα τῆς σφιγγός.

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνὴ
al' βοὴν καὶ τρίπον, ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον
ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Ἄλλος.

ὑλογενὴς ἀνάκανθος ἀναίματος ὑγροπέλευθος.

Ἄλλος.

πέντ' ἄνδρες δέκα ναυσὶ κατέδραμον εἰς ἕνα χῶρον
ἐν δὲ λίθοις ἐμάχοντο λίθους δ' οὐκ ἦν ἀνελέσθαι
δίψῃ δ' ἐξώλλυντο ὕδωρ δ' ὑπέβρεχε γενείου.

Ἀντίδοτος ἐνδοξοτάτη ἐν αἰνίγματι Φίλωνος.

ταρσέος ἰητροῖο μέγα θνητοῖσι Φίλωνος

εὕρημα

εὕρεμα πρὸς πολλὰς εἰμὶ παθῶν ὀδύνας.
εἴτε κόλον πάσχει τὶς ἅπαξ ὀδυνῶν, εἴτε τὶς ἧπαρ
εἴτε δυσουρίην ἴσχεται εἴτε λίθον.
ἰῶμαι καὶ σπλῆνα καὶ ὀρθόπνοιαν ἀνιηρὴν
καὶ φθίσιν, ἰῶμαι σπασμὸν ἐνιστάμενον.
καὶ σφαλερὴν πλευρῖτιν, ἀναπτύων δὲ τὶς αἷμα
ἢ ἐμέων ἕξει με ἀντίπαλον θανάτου
πάντα δ' ὅσα σπλάγχνοισιν ἐνίσταται ἄλγεα πάνω
βῆχά τε καὶ πνιγμὸν λύγγα τε καὶ κατάρρουν
γέγραμμαι δὲ σοφοῖσι, μαθὼν δέ τις οὐ βραχὺ με ἕξει
δῶρον, ὃν ἀξυνέτους δ' οὐκ ἐπόθησα πορεῖν.
ξανθὴν μὲν τρίχα βάλλε μυρίπνοον ἰσοθέοιο
οὐ λύθρος † ἑρμείαις λάμπεται ἐν βοτάναις — † al. ἑρμείοις πεδίοις
κρόκου δὲ σταθμὸν φρένας ἀνδρὸς, οὐ γὰρ ἄδηλον,
βάλλε δὲ καὶ δραχμὴν ναυπλίου εὐβοέως.
καὶ ζίτον ἐν πρώτοισι μενοιτιάδαο φονῆος,
δραχμὴν, τὴν μήλων γαστρὶ σαωζομένην
ὁλκὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,
εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' ἀρκάδιης.
δραχμὴν καὶ ῥίζης ψευδωνύμου ἣν ἀνέθρεψε
χῶρος ὁ τὸν πίσσῃ ζῶα λοχευσάμενος,
ποίου δὲ γράψας ἄρθρον βάλε πρῶτον ἐπ' αὐτὸ
ἄρρεν, ἐνὶ δραχμὰς πάντε δὶς ἑλκόμενον.
νᾶμα δὲ θυγατέρων τάφρων καὶ κεκροπίδεσσι
συγγενὲς, οἱ τρίκκης ὡς ἐνέπουσιν ἐμοί.

Ἐν τούτοις τοῖς ἔπεσιν ὁ φίλων κελεύει κρόκου μὲν.

∠. ε. ἐμβάλλεσθαι, πυρέθρου δὲ καὶ εὐφορβίου καὶ στάχυος ἀνὰ ∠. α. πεπέρεως λευκοῦ καὶ ὑοσκυάμου τὸ ἴσον ἑκατέρου ∠. κ. ὀπίου δὲ ∠. ι. ὑπόλοιπον δ᾽ ἐστὶν, ᾧ πάντα ταῦτα ἀναλαμβάνεται λειωθέντα μέλι ἀττικόν.

# ΕΓΚΩΜΙΑΣΤΙΚΑ ΚΑΙ ΣΚΩΠΤΙΚΑ ΠΑΡΟΙμιακά τε καὶ γνωμικὰ καὶ ὅσα παιγνιώδη ἢ τοιουτότροπα.

Οἶνος, ὡς πανύασις.

Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ
ἐσθλὸν ἀλεξίκακον πάσῃ συνοπηδὸν
ἀνίῃ
ἐν μὲν γὰρ θαλίης ἐρατὸν μέρος ἀγλα
ΐης τε
ἐν δὲ χοροιτυπίης, ἐν δ᾽ ἱμερτῆς φιλότητος
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ
πίνειν μηδὲ βορῆς κεκορημένον ἤυτε παῖδα
ἧσθαι πλημμύροντα λελησμένον εὐφροσυνάων.

Τοῦ αὐτοῦ.

οἶνος δὲ θνητοῖσι θεῶν παρὰ δῶρον ἄριστον
ἀγλαόν, ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαὶ
πάντες δ᾽ ὀρχηθμοὶ πᾶσαι δ᾽ ἐραταὶ φιλότητες
πάσας δ᾽ ἐκ κραδίης ἀνίας ἀνδρῶν ἀλαπάσει.

πινόμενος κατὰ μέτρον, ὑπὲρ μέτρον δὲ χερείων.

Εἰς κρατῖνον ἀσκληπιάδου
οἱ δὲ θεαιτήτου.

οἶνός τοι χαρίεντι πέλει μέγας ἵππος ἀοιδῷ
 ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις
ταῦτ' ἔλεγεν, διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
 κρατῖνος, ἀλλὰ παντὸς ὀδωδὼς πίθου
τοιγὰρ ὑπὸ στεφάνων δόμος ἔβρυεν. εἶχε δὲ κιττῷ
 μέτωπον οἷα καὶ σὺ κεκροκωμένον.

Παντοίων χωρῶν ἰδιώματα ἑρμίππου.

ἔσπετε νῦν μοι μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι
ἐξ οὗ ναυκληρεῖ διόνυσος ἐπ' οἴνοπα πόντον
ὅσσ' ἀγαθ' ἀνθρώποις δεῦρ' ἤγαγε νηῒ μελαίνῃ.
ἐκ μὲν κυρήνης καυλὸν καὶ δέρμα βόειον,
ἐκ δ' ἑλλησπόντου σκόμβρους καὶ πάντα ταρίχη.
ἐκ δ' αὖ ἰταλίας χόνδρον καὶ πλευρὰ βόεια,
καὶ παρὰ σιτάλκου ψώρας λακεδαιμονίοισι,
καὶ παρὰ περδίκκου ψευδῆ ναυσὶν πάνυ πολλαῖς.
αἱ δὲ συράκουσαι σῦς καὶ τυρὸν παρέχουσι,
καὶ κερκυραίους ὁ ποσειδῶν ἐξολέσειεν
ναυσὶν ἐπὶ γλαφυραῖς ὅτι δίχα θυμὸν ἔχουσι.
ταῦτα μὲν ἐντεῦθεν. ἐκ δ' αἰγύπτου τὰ κρεμαστὰ
ἱστία καὶ βίβλους, ἀπὸ δ' αὖ συρίας λιβανωτόν.
ἡ δὲ καλὴ κρήτη κυπάριττον τοῖσι θεοῖσι,
ἡ λιβύη δ' ἐλέφαντα πολὺν παρέχει κατὰ πρᾶσιν.
ἡ ῥόδος ἀσταφίδας τε καὶ ἰσχάδας ἡδυονείρους.
αὐτὰρ ἀπ' εὐβοίας ἀπίους καὶ ἴφια μῆλα.

ἀνδράποδ' ἐκ φρυγίας ἐκ δ' ἀρκαδίας ἐπικούρους
αἱ παγασαὶ δούλους καὶ στιγματίας παρέχουσι
τὰς δὲ διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα
παφλάγονες παρέχουσι, τὰ γὰρ τ' ἀναθήματα δαιτός
φοινίκη αὖ καρπὸν φοίνικος καὶ σεμίδαλιν,
καρχηδὼν δάπιδας καὶ ποικίλα προσκεφάλαια.

Σιμωνίδου αὐτοσχεδίασμα περὶ χιόνος σμιγνυμένου εἰς οἶνον.

τὴν ῥά ποτ' οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ θρήκης ὀρνύμενος βορέης
ἀνδρῶν δ' ἀχλαίνων ἔδακεν φρένας αὐτὰρ ἐκάμφθη
ζωὴ πιερίην γῆν ἐπιεσσαμένη
ἐν τις ἐμοὶ γ' αὐτῆς χεέτω μέρος. οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

Εἰς κνισοκόλακα ἀσίου.

χωλὸς στιγματίης πολυγήραος, οἷος ἀλήτης
ἦλθεν ὁ κνισοκόλαξ εὖτε μέλης ἐγάμει
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισι
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

Κατὰ φιλοσοφούντων, ἡγησάνδρου τοῦ δελφοῦ.

ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,
σακκογενειότροφοι καὶ λοπαδαρπαγίδαι
εἱματανωπεριβαλλοι, νηλιποκαιβλεπέλαιοι.
νυκτιλαθραιοφάγοι, νυκτιπάται, πλάγιοι.
μειρακιεξαπάται καὶ συλλαβοπευσιλαβηταί,
δοξοματαιόσοφοι, ζηταρετησιάδαι,

Εἰς ναῦν

### Εἰς ναῦν ἱέρωνος πεμφθεῖσαν πτολεμαίῳ ἀρχιμήλου.

τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
τμηθέντες πελέκει τόδ' ἔκαμον τὸ κύτος.
ἢ κορυφαῖς αἴτνας παρισούμενον ἢ τινὶ νάσων
ἃς αἰγαῖον ὕδωρ κυκλάδας ἐνδέχεται
τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦρα γίγαντες
τῶνδε πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς;
ἄστρων γὰρ ψαύει καρχήσια. καὶ τριελίκτους
θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων
πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν ἄβυδον
ξέρξης καὶ σηστοῦ δισσὸν ἔδησε πόρον.
μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
γράμμα τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν.
φασὶ γὰρ ὡς ἱέρων ἱεροκλέος. ἑλλάδι πάσῃ
καὶ νάσοις καρπὸν πίονα δωροφορῶν
σικελίδας σκαπτοῦχος ὁ δωρικός, ἀλλὰ πόσειδον
σῶζε κατὰ γλαυκῶν σέλμα τὸ δὲ ῥοθίων.

### Κατὰ γραμματικοῦ ἡροδίκου βαβυλωνίου.

φεύγετ' ἀριστάρχειοι ἐπ' εὐρέα νῶτα θαλάσσης.
ἀλλοδάπης, ξουθῆς δειλότεροι κεμάδος
γωνιοβόμβυκες μονοσύλλαβοι οἷσι μέμηλε
τὸ σφὶν καὶ σφῶιν καὶ τὸ μὶν ἠδὲ τὸ νίν.
τοῦθ' ὑμῖν ἂν δυσπέμφελοι. ἡροδίκῳ δὲ

ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις βαβυλών.

Τίμωνος περὶ διονυσίου τοῦ ἡρακλεώτου.

ἡνίκ' ἐχρῆν δύνειν νῦν ἄρχεται ἡδύνεσθαι·
ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

Παροιμία.

πουλύποδος μοι τέκνον ἔχου νόον ἀμφίλοχ' ἥρως
τοῖσιν ἐφαρμόζων ὧν περ καὶ δῆμον ἵκηαι.

Τίμωνος.

πάντων μὲν πρώτιστα κακῶν ἐπιθυμίη ἐστί.

Εἰς αὐλητῆρας.

ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν
ἀλλ' ἅμα τῷ φυσᾶν χὠ νόος ἐκπέταται.

Εἰς λεοντέα τραγικὸν ἐν ὑψιπύλῃ διὰ ὀψοφαγίαν σφαλλόμενον. ἰόβα μαυρουσίων βασιλέως.

μή με λεοντῆος τραγικοῦ κιναρηφάγου ἦθος
λεύσσων ὑψιπύλης εἰς κακὸν ἦτορ ὅρα·
ἤμην γάρ ποτ' ἐγὼ βάκχῳ φίλος, οὐδὲ τις ᾠδῆς
γήρυν χρυσοβόλοις οὕασιν ἠπίζατο·
νῦν δέ με χυτρόποδες κέραμοι καὶ τήγανα ξηρὰ
χώρησαν φωνῆς γαστρὶ χαριζόμενον.

Εἰς ὀψοφάγον. ἡδύλου.

ἔφθος ὁ κάλλιχθυς. νῦν ἔμβαλε τὴν βαλανάγραν
ἔλθῃ μὴ πρωτεὺς ἄγις ὁ τῶν λοπάδων·
γίνεθ' ὕδωρ καὶ πῦρ καὶ ὃ βούλεται, ἀλλ' ἀπόκλειε·
ἥξει γὰρ τοιαῦτα μεταπλασθεὶς τύχον ὡς ζεὺς
χρυσορόης ἐπὶ τὴν δ' ἀκρισίου λοπάδα.

Εἰς κλεώ-

Εἰς κλειώ τινα ὀψοφάγον γυναῖ-
κα τοῦ αὐτοῦ.

ὀψοφαγεῖ κλειώ, καταμύομεν. ἣν δὲ θελήσῃς
ἐσθέμεναι δραχμῆς δεῖν ὁ γόγγρος ὅλος.
θὲς μόνον ἢ ζώνην ἢ ἐνώτιον ἢ τι τοιοῦτον
σύσσημον, τὸ δ' ὁρᾶν δὴ μόνον οὐ θέλομεν.
ἡμετέροισι μέδουσα, λιθούμεθα πάντα πάλαι τε
οὐ γοργοῦς γόγγροι δ' οἱ μελεοὶ λοπάδι.

Φερεκράτους ἢ νικομάχου.

μὴ δὲ σύ γ' ἀνδραφίλον καλέσας ἐπὶ δαῖτα θάλειαν
ἄχθου ὁρῶν παρέοντα, κακὸς γὰρ ἀνὴρ τὸ δὲ ῥέζει.
ἀλλὰ μάλ' εὔκηλος τέρπου φρένα, τέρπε τ' ἐκεῖνον.

Ἀρχαίου.

οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν.

Ἀθηνέλου.

οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

Φωκυλίδου.

χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισσομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

Κατὰ προπόσεων. κριτίου.

καὶ τόδ' ἔθος σπάρτῃ μελέτημά τε κείμενόν ἐστι
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντας
μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κύκλῳ θιάσου
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια καὶ προκαλεῖσθαι
ἐξονομακλήδην, ᾧ προπιεῖν ἐθέλει.
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσι

ἐς αἰσχροὺς μύθους, σῶμα τ' ἀμαυρότερον
τεύχουσιν, πρὸς δ' ὄμμ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει
λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων.
νοῦς δὲ παρέσφαλται δμώων δ' ἀκόλαστον ἔχουσι
ἦθος, ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη.
οἱ λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον
ὥστε φρέν' εἰς ἱλαρὰν ἐλπίδα πάντ' ἀπάγειν
εἴς τε φιλοφροσύνην γλῶτταν, μέτριόν τε γέλωτα,
τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος,
γνώμῃ τε κτήσει τε καλῶς τ' εἰς ἔργ' ἀφροδίτης
πρός θ' ὕπνον ἥρμοσται τὸν καμάτων λιμένα.
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς ὑγίειαν,
καὶ τὴν εὐσεβίης γείτονα σωφροσύνην.
αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι, λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον
ἡ λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν.
καὶ τὸ πονεῖν εἶναι δυνατοὺς. οὐκ ἔστ' ἀπότακτον
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι ποτοῖς;

Τῇ κλεοῖ. φαλαίκου.

χρυσωτὸν κροκόεντα περιζώσασα χιτῶνα
τῷ δὲ διονύσῳ δῶρον ἔδωκε κλεώ.
οὕνεκα συμποσίοισι μετέπρεπεν, ἶσα δὲ πίνειν
οὔτις οἱ ἀνθρώπων ἤρισεν οὐδ' ἅμα πῶ.

Εἰς τὴν πόλιν τῶν ἠλείων
πολέμωνος.

ἦλις καὶ μεθύει καὶ ψεύδεται. οἷος ἑκάστου

οἶκος,

οἶνος, τοίη δὴ καὶ ξυνάπασα πόλις.

ἡδύλου.

πίνωμεν καὶ γάρ τι νέον καὶ γ' ἄν τι παρ' οἶνον
εὕροιμεν λεπτὸν καὶ τι μελιχρὸν ἔπος.
ἀλλὰ κάδοις χιόνη με κατάβρεχε, καὶ λέγε παῖζε
ἡδυλε μισῶ ζώσης εἰς κενὸν οὐ μεθύων.

Του αὐτοῦ.

ἐξ ἠοῦς εἰς νύκτα καὶ ἐκ νυκτῶν πάλι σωκλῆς
εἰς ἠοῦ πίνει τετραχίοισι κάδοις
εἶτ' ἐξαίφνης που τυχὸν οἴχεται, ἀλλὰ παρ' οἶνον
σικελίδου παίζει πουλὺ μελιχρότερον
ἐστι δὲ δὴ πουλὺ στιβαρώτερος. ὡς δ' ἐπιλάμπει
ἡ χάρις; ὥστε φίλε καὶ γράφε καὶ μέθυε.

Αρχιλόχου.

ἀλλ' ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός. οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

ἡδύλου.

ἡ διαπινομένη καὶ καλλίστιον ἄνδρασι θαῦμα,
οὐκ ψευδὲς, νῆστις τρεῖς χόας ἐξέπιεν.
ἧστο δὲ οἱ παφίη ζωρὸν μετροῦσα, θυώδεις
κεῖται πορφυρέης λέσβιον ἐξ ὑέλου
ὣ σάου πάντως ὡς καὶ πάντως ἀπ' ἐκείνης
σοὶ τοῖχοι γλυκερῶν σκῦλα φέρωσι πόθων.

Εἰς θεμιστοκλέα ἐξ ἑταίρας τεχθέντα.

ἀβρότονον θρήϊσσα γυνὴ γένος, ἀλλὰ τεκέσθαι

τὸν μέγ

τὸν μέγαν ἕλλησιν φασὶ θεμιστοκλέα.

Ἀῤῥιανοῦ.

ἥμισυ μὲν πίσσης κωνίτιδος, ἥμισυ δ' οἴνου
  ἄρτι νεὼ ἀτρεκέως ἥδε λάγυνος ἔχει
λεπτολέγας δ' οὐκ οἶδ' ὁρίφου κρέας. πλὴν ὅγ' ἔπεμψεν
  αἰνεῖσθαι πάντως ἄξιος ἱπποκράτης.

Ἀρχιλόχου.

συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας
  εὐήθης ξείνων δέκτρια πασιφίλη.

Εἰς δωρίχαν ἐρωμένην χαρά-
ξου. ποσειδίππου.

δωρίχα ὀστέα μὲν σ' ἁπαλὰ κοσμήσατο δεσμῶν
  χαίτης ἥτε μύρων ἔμπνοος ἀμπεχόνη.
ἥποτε τὸν χαρίεντα περιστέλλουσα χάραξον
  σύγχρους ὀρθρινῶν ἥψαο κισσυβίων.
σαπφῷαι δὲ μένουσι φίλης ἔτι καὶ μενέουσι
  ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες,
οὔνομα σὸν μακαριστὸν ὁ ναύκρατις ὧδε φυλάξει
  ἔστ' ἂν ἴῃ νείλου ναῦς ἔφαλος τενάγη.

Ἵππωνος τοῦ ἀθέου.

πολυμαθημοσύνη οὐ κενεώτερον ἄλλο.

Ἀρχιλόχου.

εἰμὶ δ' ἐγὼ θεράπων μὲν ἐνυαλίοιο ἄνακτος
  καὶ μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

Τοῦ αὐτοῦ εἰς τὴν πάρον.

ὦ τὴν εὐτυχέα ναίων πάρον ὄλβιε πρέσβυ
ἣ καλλίστα φορεῖ χώρα δύο τῶν συναπασῶν

κόσμον τὸν μακάρεσσι λίθον. θνητοῖς δὲ πλακοῦντας.

Καλλιμάχου. κότταβος.

πολλοὶ καὶ φιλέοντες ἀκόντιον ἧκαν ἔραζε
οἰνοπόται σικελᾶς ἐκ κυλίκων λάταγας.

Νικαινέτου σαμίου.

οὐκ ἐθέλω φιλόθηρε κατὰ πόλιν, ἀλλ᾽ ἐπ᾽ ἀγροῖς
αἰνύσθαι ζεφύρου πνεύμασι τερπόμενος
ἀρκεῖ μοι κοίτη μὲν ἐπὶ πλευρῇσι χαμεύνα
ἐγγὺς γὰρ πρεμόλου δέμνιον ἐνδαπίης
καὶ λύγος ἀρχαῖον καρῶν στέφος. ἀλλὰ φερέσθω
οἶνος, καὶ μουσέων ἡ χαρίεσσα λύρη
θυμηρὲς πίνοντες ὅπως διὸς εὐκλέα νύμφην
μέλπομεν νήσου δεσπότιν ἡμετέρης.

Παρῳδία μάτρωνος.

οἳ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι
οὐδ᾽ οἷός τε ὁ ἑρμογένης διοίτε φίλιπποι
οἳ μὲν δὴ τεθνᾶσι καὶ εἰν ἀΐδαο δόμοισι
ἔστι δέ τις κλεόνικος ὃς ἀθάνατον λάχε γῆρας
οὐδὲ ποιητάων ἀδαήμων οὔτε θεάτρων
ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε περσεφόνεια

Ἱππώνακτος.

μοῦσά μοι εὐρυμέδοντ᾽ ἄδδις τὴν ποντοχάρυβδιν.
τὴν ἐγγαστριμάχαιραν, ὅσ᾽ ἐσθίει οὐ κατὰ κόσμον.
ἔννεφ᾽ ὅπως ψηφῖδι κακῇ κ   κὸν οἶτον ὄληται
βουλῇ δημοσίῃ παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.

ἀρχαῖον.

ἀ βορρᾶς πηλὸν καταλήψεται αὐτίκα χειμών.

ἀρχαῖον.

†αλ. χειμών εἰ δ᾽ ὁ νότος βορέην προκαλέσσεται αὐτίκα † νίψει.

ἀλκμᾶνος.

σάρδιες ἀρχαίων πατέρων νόμος εἰ μὲν ἐν ὑμῖν
ἐτρεφόμην κέρνας ἦν τις ἀνὴρ ἢ βακέλας
χρυσοφόρος ῥήσσων καλὰ τύμπανα. νῦν δέ μοι ἀλκμὰν
οὔνομα καὶ σπάρτης εἰμὶ πόλεως ναέτης,
καὶ μούσας ἐδάην ἑλληνίδας. αἵ με τυράννων
θῆκαν δασκύλεω μείζονα καὶ γύγεω.

εἰς δημοσθένην.

εἴπερ ἴσην ῥώμην γνώμῃ δημόσθενες εἶχες
οὔποτ᾽ ἂν ἑλλήνων ἦρξεν ἄρης μακεδών.

ἀρχαῖον.

μηκέτι νυκτὶ ὕειν ἦκον τέως ἀγροτέρη σῦς.

εἰς δημόκριτον ἀριστεύσαντα ἐν τῇ περὶ
σαλαμῖνα ναυμαχίᾳ.

σιμωνίδου.

δημόκριτος τρίτος ἦρξε μάχης ὅτε τὴν σαλαμῖνα
ἕλληνες μήδοις σύμβαλον ἐν πελάγει·
πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ᾽ ὑπὸ χεῖρα
ῥύσατο βαρβαρικὴν δωρίδ᾽ ἁλισκομένην.

ἀρχαῖον.

πολύποδος κεφαλῇ ἐν μὲν κακὸν ἐν δὲ καὶ ἐσθλόν.

ἄλλο.

γραῦς ἀποσκιρτήσασα πολὺν κονιορτὸν ἐγείρει.

ἄλλο.

ζεὺς ἀρχὴ ζεὺς μέσσα διὸς δ᾽ ἐκ πάντα τέλονται.

λάκαινα

λάκαινα κτεῖνασα δειλὸν ὑόν.
ἔῤῥε κακὸν φίτυμα διὰ σκότος. οὗ διὰ μῖσος
εὐρώτας δειλαῖς μητ᾽ ἐλάφοισι ῥέοι
ἀχρεῖον σκυλάκευμα, κακὰ μερίς. ἔῤῥε ποτ᾽ ἅδαν
ἔῤῥε, τὸ μὴ σπάρτης ἄξιον οὐδ᾽ ἔτεκον.

Ζεύς. τοῦ παμφῶ.

ζεῦ κύδιστε μέγιστε θεῶν. εἰλυμένε κόπρῳ
μηλείῃ τε καὶ ἱππείῃ καὶ ἡμιονείῃ.

Εἰς δηχθέντα ὑπὸ διψάδος.

τοῖα παθόντ᾽ οἶμαι καὶ τάνταλον αἴθοπος οἴνου
μηδαμὰ κοιμῆσαι διψαλέην ὀδύνην
καὶ δαναοῖο κόρας τοῖον πίθον οὐκ ἀναπλῆσαι
αἰὲν ἐπαντλεύσας ὑδροφόρῳ καμάτῳ.

Εἰς τιμόθεον τὸν μιλήσιον.

πάτρα μίλητος τίκτει μούσαισι ποθεινὸν
τιμόθεον κιθάρας δεξιὸν ἡνίοχον.

Εἰς τὸν τῆς ἐφέσου κατακλυσμόν. δούριδος.

ἤειραι νεφέλαι πόθεν ὕδατα πικρὰ πιοῦσαι
νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατακλύσατε
οὐ λιβύης, ἐφέσου δὲ τὰ μύρια κεῖνα, τάλαιναι,
ὄλβια καὶ μακάρων ἐξ ἐτέων κτέανα.
ποῖ δέ γε σαωτῆρες δαίμονες ἔτραπον ὄμμα
αἲ αἲ τὴν ἰάδων πολλὸν ἀοιδοτάτην.
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὅμοια
εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

Εἰς σιμωνίδην.

ἀμφὶ διδασκαλίῃ σιμωνίδῃ ἕσπετο κῦδος

ὀγδωκονταέτει παιδὶ λεωπρεπέος.

Ἄσματα τριῶν τῶν ἐν λακεδαίμονι χορῶν, τοῦ τῶν γερόντων.

ἄμμες ποτ' ἦμεν ἄλκιμοι νεανίαι.

Τῶν παίδων.

ἄμμες δέ γ' ἐσσόμεσθα πουλὺ κάρρονες

Τῶν νεανίσκων.

ἄμμες δέ γ' ἐσμέν. εἰ δὲ λῇς αὐγάσδεο.

Λακωνικὸν ἆσμα.

νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλλεον, αὐτίκα δ' ἄλλοι
ὧν αὐτοὶ γενεὰν οὐκ ἔτ' ἐποψόμεθα.

καὶ ἄλλο.

τοὶ θάνον οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ θνήσκειν
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

Πυθαγορικὸν παρακέλευσμα.

ὅσσα δὲ δαιμονίοισι τύχαις βροτοὶ ἄλγε' ἔχουσι
ὧν ἂν μοῖραν ἔχεις ταύτην ἔχε μὴ δ' ἀγανάκτει.

Εἰς λάγυνον ποτήριον.

Κυπρίδι κεῖσο λάγυνε μεθυσφαλὲς αὐτίκα δῶρον
ἡ κασιγνήτη νεκταρέους κύλικος.
Βακχοῦ ὑγρόφθογγε, συνέστιε δαιτὸς ἐΐσης
στεινάυχην ψήφου συμβολικῆς θύγατερ
θνητοῖς αὐτοδίδακτε διάκονε, μυστὶ φιλούντων
ἡδίστη, δείπνων ὅπλον ἑτοιμότατον

Ἀρχαῖον.

οὐ ξυνετοὺς δ' ἂν τις πείσειε τάχιστα λέγων εὖ
οἶνον καὶ ῥάστης εἰσὶ διδασκαλίης.

Εἰς φα-

Εἰς φάϋλλον ὁπλιτοδρόμον.

πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε φάϋλλος
δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων
Ἀττικόν. ᾆσμα ποιὲ ἐπὶ εἰρεσιώνης.

εἰρεσιώνη σῦκα φέρει, καὶ πίονας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀναψήσασθαι
καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ

Σόλωνος.

πολλοὶ γὰρ πλουτοῦσι κακοὶ ἀγαθοὶ δὲ πένονται
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ
χρήματα δ' ἀνθρώπων ἄλλο τε ἄλλος ἔχει.

Τοῦ αὐτοῦ εἰς τὴν τοῦ πεισιστράτου τυραννίδα.

ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης·
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς.
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται, ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται. εἰς δὲ μονάρχου
δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσε.

περὶ σόλωνος φυγόντος τὴν τυραννίδα ἀθήνησι

οὐκ ἔφυ σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνὴρ
ἐσθλὰ γὰρ θεοῦ διδόντος, αὐτὸς οὐκ ἐδέξατο.
περιβαλὼν δ' ἄγραν ἀγασθεὶς, οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ τ' ἁμαρτὼν καὶ φρενῶν ἀποσφαλείς.
ἤθελον γάρ κεν κρατήσας πλοῦτον ἄφθονον λαβὼν.
καὶ τυραννεύσας ἀθηνῶν μοῦνον ἡμέραν μίαν

ἀσκὸς ὕστερον δεδάρθαι καὶ ἐπιτετρίφθαι γένος.

Σόλωνος. περὶ τῆς ἐξισωμένης πολιτείας.

δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος ὅσον ἐπαρκεῖ
τιμῆς, οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοὶ
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι
νικᾶν δ' οὐκ εἴασ' ἀμφοτέρους ἀδίκως.

Σόλωνος περὶ τῆς τῶν σολίων συνοική-σεως πρὸς Φιλόκυπρον.

νῦν δὲ σὺ μὲν σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων
τὴν δὲ πόλιν ναίοις καὶ γένος ὑμέτερον
αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι κύπρις ἰοστέφανος
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλόν, καὶ νόστον πατρὶ δ' ἐς ἡμετέρην.

Τοῦ αὐτοῦ εἰς ἀθηναίους τυραννουμένους ὑπὸ πεισιστράτου.

εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα
μή τι θεοῖς τούτων μῆνιν ἐπαμφέρετε
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνια βαίνει
σύμπασιν δ' ὑμῖν κοῦφος ἔνεστι νόος
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρὸς
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

Σόλωνος.

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς.

Εἰς οἰχαλίαν κρεοφύλου τοῦ σαμίου λεγομένην ὁμήρου εἶναι.

τοῦ σαμίου πόνος εἰμὶ δόμῳ ποτὲ θεῖον ὅμηρον
δεξαμένου, κλαίω δ' εὔρυτον ὅσσ' ἔπαθεν
καὶ ξανθὴν ἰόλειαν ἅμ' ὁμήρου δὲ καλοῦμαι
γράμμα κρεωφύλου ζεῦ φίλε τοῦτο μέγα.

Σκωπτικὸν εἰς ἀντώνιον.

ἔργα νέων, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων
ὅπερ ἐκεῖνος μετήλλαξεν βρονταὶ δὲ γερόντων

Μιμνέρμου.

αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

Πρὸς ταῦτα ὁ σόλων ἀντέγραψεν.

ἀλλ' εἴ μοι καὶ νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο
μηδὲ μέγαιρ' ὅτι σ' εὖ λῷον ἐπεφρασάμην
καὶ μεταποίησον γράψας τὰ δὶ ὧδε δ' ἄειδε,
ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

Τίμωνος τοῦ φλιασίου εἰς
ἀναξαγόραν.

καὶ που ἀναξαγόραν φασ' ἔμμεναι ἄλκιμον ἥρω
νοῦν, ὅτι δὴ νόος αὐτῷ ὃς ἐξαπίνης ἐπεγείρας
πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

Τοῦ αὐτοῦ τίμωνος εἰς σωκράτη.

ἐκ δ' ἄρα τῶν ἀπέκλινε λιθόξοος ἐννομολέσχης

ἑλλήνων ἐπαοιδὸς, ἀκριβολόγους ἀποφήνας.
μυκτὴρ, ῥητορόμυκτος, ὑπαττικὸς, εἰρωνευτής.

Εἰς ξενοφῶντα. λαερτίου.

οὐ μόνον ἐν πέρσας ἀνέβη ξενοφῶν διὰ κῦρον.
ἀλλ' ἄνοδον ζητῶν ἐν διὸς εἴτις ἄγοι
παιδείης γὰρ ἑῆς ἑλληνικὰ πράγματα δείξας
ὡς καλὸν ἡ σοφίη μνήσατο σωκράτεος.

Εἰς στίλπωνα τοῦ τίμωνος. ἐστι δὲ ταῦτα ἐκ τῶν ἐκείνου σίλλων οἷς ἐν παρῳδίας σχήματι ἐκωμώδει τοὺς φιλοσοφοῦντας.

καὶ μὴν καὶ στίλπων' ἐσεῖδον κρατερ' ἄλγε' ἔχοντα
ἐν μεγάροις ὅθι φασὶ τυφοῖος ἔμμεναι εὐνάς.
ἔνθα περ ἵζεσκεν πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

Τοῦ αὐτοῦ εἰς πλάτωνα.

τῶν πάντων δ' ἡγεῖτο πλατύστατος ἀλλ' ἀγορητὴς
ἡδυεπὴς τέττιξιν ἰσογράφος οἵθ' ἑκαδήμου
δένδρει ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱᾶσι.

Πλάτωνος.

τὴν ψυχὴν ἀγάθωνα φιλῶν ἐπὶ χείλεσιν εἶχον
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

Τοῦ αὐτοῦ.

ἀρχεάνασσαν ἔχω τὴν ἐκ κολοφῶνος ἑταίραν
ἧς καὶ ἐπὶ ῥυτίδων ἕζετο δριμὺς ἔρως
ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς;

Εἰς ἀττα-

Εἰς ἄτταλον περγαμηνὸν ἀρκεσιλάου.

πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον ἀλλὰ καὶ ἵπποις
  πολλάκις αὐδᾶται πῖσαν ἀνὰ ζαθέην.
εἰ δὲ τὸν ἐκ διόθεν θεμιτὸν θνατῷ νόον εἰπεῖν
  ἔσεται εἰς αὖθις πολλὸν ἀοιδοτέρη.

Περὶ τῆς κυνικῆς αἱρέσεως.

κράτητος.

πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ
καλὴ καὶ πίειρα περίῤῥυτος οὐδὲν ἔχουσα
εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσι.
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων
οὐχ ὅπλα κέκτηνται, περὶ κέρματος, οὐ περὶ δόξης

Εἰς διότιμον γραμματικὸν

ἀράτου.

αἰάζω διότιμον ὃς ἐν πέτρῃσι κάθηται
  γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων.

Κράτητος.

τοῦτ᾽ ἔχω ὅσσ᾽ ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ μουσῶν
σεμν᾽ ἐδάην. τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν

Τίμωνος εἰς ζήνωνα τὸν κιττιᾶ.

καὶ φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
πάντων ἱμείρουσαν ὁ δ᾽ ἔῤῥει γύργαθος αὐτῆς
μικρὸς ἐών, νοῦν δ᾽ εἶχεν ἐλάσσονα σκινδαψοῖο
ὄφρα πενεστάων συνάγη νέφος, οἳ περὶ πάντων
πτωχότατοί τ᾽ ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν.

Εἰς ζήνωνα τὸν κιτιέα, ζηνοδότου.

ἔκτισας αὐτάρκειαν ἀφεὶς κενεαυχέα πλοῦτον
ζήνων σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ
†ἄλ' ἀνα-τλήσω ἄρσενα γὰρ λόγον εὗρες † ἐναβλήσω δὲ προνοίᾳ
αἵρεσιν ἀτρέστου ματέρ' ἐλευθερίας
εἰ δὲ πάτρα φοίνισσα τίς ὁ φθόνος; ἦν καὶ ὁ κάδμος
κεῖνος ἀφ' οὗ γραπτὰν ἑλλὰς ἔχει σελίδα.

Εἰς πυθαγόραν τὸν φιλόσοφον.

ἀλλ' ἦν πυθαγόρας τοῖος σοφὸς, ὥστε μὲν αὐτὸς
μὴ ψαύειν κρειῶν καὶ λέγεν ὡς ἄδικον.
σιτίζειν δ' ἄλλους ἄγαμαι σοφόν. αὐτὸς ἔφαμεν
οὐκ ἀδικεῖν. ἄλλους δ' αὐτὸς ἐπεῖχ' ἀδικεῖν.

Εἰς τὸν αὐτόν.

πυθαγόρην τινὰ πυθαγόρην ὦ ξεῖνε κομήτην
ἀδόμενον πύκτην εἰ κατέχεις σάμιον
πυθαγόρης ἐγώ εἰμι τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο
ἠλείων φήσεις αὐτὸν ἄπιστα λέγειν.

Εἰς πυθαγόραν ἄλλον τινὰ πύκτην.

οὗτος πυκτεύσων ἐν ὀλύμπια παισὶν ἄνηβος
ἤλυθε πυθαγόρας ὁ κράτεω σάμιος

Εἰς παυσανίαν ἰατρόν.

παυσανίην ἰητρὸν ἐπώνυμον ἀγχίτου υἱὸν
φῶτ' ἀσκληπιάδην πατρὶς ἔθρεψε γέλας
ὡς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
φῶτας ἀπέστρεψεν φερσεφόνης ἀδύτων.

Ἐμπεδοκλέους.

ὦ φίλοι, οἱ μέγα ἄστυ κατὰ ξανθοῦ ἀκράγαντος

ναίετ'

ναίετ' ἀν' ἄκρα πόλεος, ἀγαθῶν μελεδήμονες ἔργων
χαίρετ'· ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος οὐκέτι θνητὸς
πωλοῦμαι μετὰ πᾶσι τετιμένος ὥσπερ ἔοικα
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείης
τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα
ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι, οἱ δ' ἅμ' ἕπονται
μύριοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπὸς
οἳ μὲν μαντοσυνέων κεχρημένοι οἱ δ' ἔτι νούσων.
παντοίων ἐπύθοντο κλύειν δυηρέα βάξιν.

Περὶ πύῤῥωνος, τοῦ τίμωνος.

ὦ γέρον ὦ πύῤῥων πῶς ἢ πόθεν ἔκλυσιν εὗρες
λατρείης δοξῶν τε κενοφροσύνης τε σοφιστῶν
καὶ πάσης ἀπάτης πειθοῦς τ' ἀπελύσαο δεσμά
οὐδὲ μέλει σοι ταῦτα μεταλλήσειν τίνες αὖραι
ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅτι κυρεῖ ἅπαντα.

Εἰς ἐπίκουρον. ἀθηναίου.

ἄνθρωποι, μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος
ἄπληστον νεικέων ἄρχετε καὶ πολέμων;
τᾶς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει
αἱ δὲ κεναὶ κρίσιες τὰν ἀπέραντον ὁδόν
τοῦτο νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ μουσῶν
ἔκλυεν, ἢ πυθοῦς ἐξ ἱερῶν ἀδύτων.

Στοιχεῖα ἐμπεδοκλέους.

τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.
ζεὺς † αἰθὴρ, ἥρη τε φερέσβιος, ἠδ' ἀϊδωνεὺς
νῆσις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Φύσις τοῦ αὐτοῦ.

ἄλλο δέ τοι ἐρέω φύσις οὐδενὸς ἔστιν ἁπάντων
θνητῶν οὐδέ τις οὐλομένου θανάτοιο τελευτὴ
ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
ἔστι, φύσις δὲ βροτοῖς ὀνομάζεται ἀνθρώποισι.

Ανακρέοντος.

οὐ φίλος ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει
ἀλλ' ὅστις μουσέων τε καὶ ἀγλαὰ δῶρ' ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

Ιωνος τοῦ χίου.

χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θεράπεν
κιρνάντων προχόοισιν ἐν ἀργυρέαις. ὁ δὲ χρυσὸς
οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος
σπένδοντες δ' ἁγνῶς ἡρακλεῖ τ' ἀλκμήνη τε
προκλέϊ περσείδαις τ' ἐκ διὸς ἀρχόμενοι
πίνωμεν παίζωμεν ἴτω διὰ νυκτὸς ἀοιδὴ
ὀρχείσθω τις, ἑκὼν δ' ἄρχε φιλοφροσύνης
ὅν τινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

Εἰς ἀστρονομίαν.

οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος, ἀλλ' ὅταν ἄστρων
ἰχνεύω πυκινὰς ἀμφιδρόμους ἕλικας
οὐκέτ' ἐπιψαύω γαίης ποσὶν ἀλλὰ παρ' αὐτῷ
ζανὶ θεοτροφέος πίμπλαμαι ἀμβροσίης.

Εἰς ὄργανον ἀστρονομικόν.

ὦ σοφίη στίβον εὗρεν ἐς οὐρανόν. ὦ μέγα θαῦμα

καὶ νόος

καὶ νόθος ἐξ αὐτῶν ἦλθεν ἐπουρανίων
ἠνίδε καὶ γυρὰ σφαίρας ἐπετάσσατο νῶτα
ἶσα δὲ κύκλα τομαῖς οὐχ ὁμαλαῖσι τέμε
σκέπτεο τείρεα πάντα πρὸς ἄντυγα τῇ ὑψόθι πτάσ
νύκτα ταλαντεύει καὶ φάος ἐρχόμενος,
ἡ δὲ ζωδιακοῦ λοξώσιας, οὐδὲ σὲ λήσει
κλεινὰ μεσημβρινῆς κέντρα συγκλύσιος.

Λοιδορητικὸν δ᾿ ἀφίδα εἰς Πτολεμαῖον
καὶ τοὺς ἄλλους βασιλέας.

πορφύρεοι μώλωπες ἀπερρινήματα γάζης
λυσι μάχου, λυδῶν ἀρχετὲ καὶ φρυγίης.

Αρχιλόχου.

ἀσπίδι μὲν σαΐων τις ἀγάλλεται ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον, οὐκ ἐθέλων
ψυχὴν δ᾿ ἐξεσάωσα φίλην, καὶ ἄσπις ἐκείνη
ἐρρέτω, ἐξ αὖθις κτήσομαι οὐ κακίω.

Ξενοφάνους κολοφωνίου.

νῦν γὰρ δὴ δάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες, πλεκτοὺς δ᾿ ἀμφιτιθεὶς στεφάνους
ἄλλος δ᾿ εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει
κρατὴρ δ᾿ ἕστηκεν μεστὸς εὐφροσύνης
ἄλλος δ᾿ οἶνος ἕτοιμος ὃς οὔποτέ φησι προδώσειν.
μείλιχος ἐν κεράμοις ἄνθεος ὀσδόμενος
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι
ψυχρὸν δ᾿ ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν
πάρκεινται δ᾿ ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένης

Βωμὸς

Βωμὸς δ' ἄνθεσιν ἂν τὸ μέσον πάντη πεπύκασται
  μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
  εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις
σπείσαντες δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
  πρήσσειν· ταῦτα γὰρ ὦν ἐστι προχειρότερον.
οὐχ ὕβρεις πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
  οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηράλεος.
ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει
  ὥς ἡ μνημοσύνη καὶ τὸν ὃς ἀμφ' ἀρετῆς
οὔτι μάχας διέπει τιτήνων οὐδὲ γιγάντων
  οὐδέ τε κενταύρων ἢ στάσιας προτέρων
    * τοῖς οὐδὲν χρηστὸν ἔνεστι
  θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν

Παροιμία.

οὔποτε νυκτερινὸς Βορέας τρίτον ἵκετο φέγγος.

Ἄλλη.

μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε μήτε φύτευε.

Ἄλλη.

ἀρχομένου τε νότου καὶ λήγοντος Βορέαο.
δεῖ δὲ τὸ ὅλον. εὖ πλεῖν ἀρχομένου.

Ἀρχαῖον.

μή ποτ' ἀπ' ἠπείροιο δεδείσῃς ἀλλ' ἀπὸ πόντου
χειμῶνα θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης.

Περὶ τῶν ε. ζωνῶν. ἐρατοσθένους.

πέντε δὲ οἱ ζῶναι περιηγέες ἐσπείρηνται
αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο

αἱ δὲ

ἡ δὲ μία ψαφαρή τε καὶ ἔκπυρος οἷον ἐρυθρὴ
τυπτομένη φλόγμοισιν ἐπεὶ ῥά ἑ μοῖραν ἐπ᾽ αὐτὴν
κεκλιμένην ἀκτῖνες ἀειθρέες πυρόωσιν
αἱ δὲ δύω ἑκάτερθε πόλοις περιπεπηγυῖαι †αἱ πόλου
αἰεὶ κρυάλεαι αἰεὶ δ᾽ ὕδατι μογέουσαι.

Παρμενίδου.

δεξιτεροῖσιν μὲν κούρους λαιοῖσι δὲ κούρας.

Ἐμπεδοκλέους.

ἐν γὰρ θερμοτέρῳ τὸ κατ᾽ ἄρρενα ἔπλετο † γαίης †αἱ. γαστρός
καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες
καὶ λαχνήεντες μᾶλλον.

Εἰς κλεόμβροτον. καλλιμάχου.

εἴπας ἥλιε χαῖρε κλεόμβροτος ὁ ὀμβρακιώτης
ἥλατ᾽ ἀφ᾽ ὑψηλοῦ τείχεος εἰς † ἀΐδου †αἱ. ἄλλα δὲ
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ᾽ ἀναλεξάμενος.

Παροιμία.

τὸν σίκυον τρώγουσα γυνὴ τὴν χλαῖναν ὕφαινε

Σοφοκλέους. εἰς Θεωρίδα, ἤδη γέροντες.

κλῦθι μοι ὦ λοχομένη κουροτρόφε. δὸς δὲ γυναῖκα
τὴν δὲ νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν.
ἡ δ᾽ ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν.
ἰσχὺς ἀπήμβλυνται τῶν, νοῦς θεῖος δὲ μενοινᾷ.

Εἰς ἀνακρέοντα. κριτίου.

τὸν δὲ γυναικείων μελέων πλέξαντα ποτ᾽ ᾠδὰς
ἡδὺν ἀνακρείοντα τέως εἰς Ἑλλάδ᾽ ἀνῆγε
συμποσίων ἐρέθισμα γυναικῶν ἠπερόπευμα.

αὐλῶν

αὐλῶν ἀντίπαλον φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι
παῖς διαπομπεύσῃ προπόσεις τ' ἀπ' δεξιὸν ὦμον
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκροισι καθίζοι
κοττάβου ὑψηλαῖς κορυφαῖς βρομίου ψεκάδεσσιν.

Καλλιμάχου.

οἶνος καὶ πυρὶ ἴσον ἔχει μένος εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ, κυμαίνει δ' οἷα λίβυσσαν ἅλα
βορρῆς ἠὲ νότος, τὰ δὲ τοι κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον

Ἀρχαῖον παροιμιῶδες.

κώθων δ' οὐ περίληπτος ἀσύμβολος ἀλλὰ διωκτός,

Ἐκ τῶν κυπρίων ἐπῶν.

οἶνόν τοι μενέλαε θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.

Παροιμιῶδες.

σῦκα φιλορνίθεσσι φυτεύειν οὐκ ἐθέλουσι

Κλεάρχου.

πρὸς δὲ μὴ πάντες δεῖπνον ἀθρόοι αἰεὶ ζητείτω,
ἔστωσαν δ' ἢ τρεῖς ἢ τέσσαρες οἱ ξύμπαντες
ἢ τῶν πέντε γε μὴ πλείους, ἤδη γὰρ ἂν εἴη
μασθοβόρων ἅρπαξι βίων σκηνὴ στρατιωτῶν.

Ξενοφάνους περὶ μακροβιότητος αὐχοῦντος.

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἂν ἑλλάδα γῆν

ἐκ γενε-

ἐκ γαμετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς
ἄπερ ἐγὼ περὶ τῶν δ' οἶδα λέγειν ἐτύμως.

# ΑΝΑΘΗΜΑΤΙΚΑ
## ΚΑΙ ΕΙΣ ΕΙΚΟΝΑΣ.

Επὶ τρίποδος ὃν διομήδης ἀνέθηκε.

Χάλκεος εἰμὶ τρίπους πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα
καί μ' ἐπὶ πατρόκλῳ θῆκεν πόδας ὠκὺς ἀχιλλεύς,
τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς διομήδης
νικήσας ἵπποισι παρὰ πλατὺν ἑλλήσποντον.

Επ' εἰκόνος κλέωνος τοῦ ᾠδοῦ.

πυθέα υἱὸς ὅδ' ἐστὶ κλέων θηβαῖος ἀοιδὸς
ὃς πλείστους θνητῶν ἀμφέθετο στεφάνους
κρατὸς ἐπὶ σφετέρης, καί οἱ κλέος οὐρανόμηκες
χαῖρε κλέων θήβας πατρίδ' ἐπευκλείσας.

Επ' ἔργου ἑλίκωνος τοῦ ἀκεσ-σᾶ ὑφάντου.

τεῦξ' ἑλίκων ἀκεσᾶ σαλαμίνιος, ὧν ἐνὶ χερσὶ
πότνια θεσπεσίαν παλλὰς ἔτευξε χάριν.

Εἰς ἀρετῆς ἄγαλμα ὑποκειμένης τῇ ἡδονῇ μνασάλκου τοῦ σικυωνίου.

ἁ δ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῇδε κάθημαι
ἡδονῇ αἰσχίστως κειραμένη πλοκάμους
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἴπερ ἅπασι

ἀκακό-

ἀκανθόφορον τέρψις κρεῖσσον ἐμοῦ κἔγκειται.

Επίγραμμα τροπαίου ἐπὶ φυγῇ ἀθηναίων ἤγουν σαλαμίνου τοῦ ἀπελλικῶντος.

τοὺς δὲ θανόντας ἔχει ξένους τάφος. οἳ περὶ δήλου
μαρνάμενοι ψυχὰς ὤλεσαν ἐν πελάγει.
τὴν ἱερὰν ὅτε νῆσον ἀθηναῖοι κεράιζον
κοινὸν ἄρη βασιλεῖ καππαδόκων θέμενοι.

Επ' ἐγχειριδίου χαλκοῦ. πυθοῖ.

θάησαι μ' ἐτεὸν γὰρ ἐν ἰλίου ὀφρύϊ πύργῳ
ἦν ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' ἑλένης.
καί μ' ἀντηνορίδης ἐφόρει κρείων ἑλικάων
νῦν δέ με λητοΐδου θεῖον ἔχει δάπεδον.

Επὶ ναύτιλον καλούμενον κόγχον.
καλλιμάχου.

κόγχος ἐγὼ ζεφυρῖτι παλαίτερος, ἀλλὰ σὺ νῦν με
κύπρι σεληναίης ἄνθεμα πρῶτον ἔχεις
ναύτιλον, ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,
τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων,
εἰ δὲ γαληναίη λιπαρὴ θεός, οὖλος ἐρέσσων
ποσσὶν † ἵν ὥσπερ καὶ τοὔνομα συμφέρεται
† αἴ ὑφ' ἔς τ' ἔπεσον παρὰ θῖνας ἰουλίδας, ὄφρα γένωμαι
σοὶ τὸ περίσκεπτον παίγνιον ἀρσινόης.
μηδέ μοι ἐν θαλάμῃσιν ἔθ' ὡς πάρος, εἰμὶ γὰρ ἄπνους,
τίκτοιτ' αἰνοτέρης ὠεὸν ἀλκυόνης.
κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν, οἶδε γὰρ ἐσθλὰ
ῥέζειν, καὶ σμύρνης ἐστὶν ἀπ' αἰολίδος.

Εἰς ἀφροδίτην ζεφυρῖτιν. ποσειδίππου.

τοῦτο καὶ ἐν ποταμῷ καὶ ὧδε χθονὶ τῆς φιλαδέλφου
κύπριδος ἱλάσκεσθ' ἱρὸν ἀρσινόης.
ἣν ἀνακοιρανέουσαν ὧδε ζεφυρίτιδος ἀκτῆς
πρῶτος ὁ ναύαρχος θήκατο καλλικράτης
ἡ δὲ καὶ εὐπλοΐην δώσει, καὶ χείματι μέσσῳ
τὸ πλατὺ λισσομένοις ἐκλιπανεῖ πέλαγος

Ἐπ' εἰκόνος θεαγένους. ποσειδίππου.

καὶ † προσωμθεσίης ἔφαγόν ποτε μηόνιον βοῦν
πατρὶ † γὰρ βρώμην οὐκ ἂν ἐπέσχε θάσος † ἀλ. πα-
θουγένει ἅσσα φαγὼν ἔτ' ἐπήτεον, εἵνεκεν οὕτω τρέαν θεύ-
χάλκεος ἕστηκα χεῖρα προϊσχόμενος τιης

Ἐπ' εἰκόνος μίλωνος τοῦ κροτωνιάτου. δωριέως.

τοῖος ἔην μίλων ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος
τετραέτη δάμαλιν ἐν διὸς εἰλαπίναις
ὤμοις δὲ κτῆνος τὸ πελώριον ὡς νέον ἄρνα
ἤνεγκεν διὰ ὅλης κοῦφα πανηγύρεως
καὶ θάμβος μέν. ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα
πρόσθεν πισαίου ξεῖνε θυηπολίου
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας πάντα κατ' οἶον μοῦνος ἐδαίσατο νιν.

Ἐπὶ τρίποδος ἀναθήματος τοῦ παυσανίου.

μνᾶμ' ἀρετῆς ἀνέθηκε ποσειδάωνι ἄνακτι
παυσανίας ἄρχων ἑλλάδος εὐρυχόρου
πόντου ἐπ' εὐξείνου. λακεδαιμόνιος γένος. υἱός.
κλεομβρότου ἀρχαίας ἡρακλέος γενεᾶς.

Παῤῥασίου ὑπὲρ τῶν ἑαυτοῦ ἔργων.

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψε
παῤῥάσιος κλεινῆς πατρίδος ἐξ ἐφέσου.
οὐδὲ πατρὸς λαθόμην εὐήνορος, ὅς γ' ἀνέφυσε
γνήσιον ἑλλήνων πρῶτα φέροντα τέχνης.

Ἐπὶ ἡρακλέους ἰδίως.

οἷος δ' ἐννυχίου φαντάζετο πολλάκι φοιτῶν
παῤῥασίῳ δι' ὕπνου τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

Πραξιτέλους. ἐπ' ἔρωτος.

πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης.
φρύνῃ μισθὸν ἐμοῖο διδοὺς ἐμὲ, φίλτρα δὲ βάλλω
οὐκ ἔτ' οἰστεύων ἀλλ' ἀτενιζόμενος

Ἐπὶ τοῦ πρὸς τῇ ἀκαδημίᾳ ἔρωτος.

ποικιλομήχαν' ἔρως σοὶ τόνδ' ἱδρύσατο βωμὸν
χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου.

Παυσανίου. ἐπὶ τρίποδος.

ἑλλήνων ἀρχηγὸς ἐπεὶ λαὸν ὤλεσε μήδων
παυσανίας φοίβῳ μνῆμ' ἀνέθηκε τόδε

Πεισιστράτου τοῦ ἱππίου ἐπὶ βωμοῦ. ἐν πυθίῳ.

μνῆμα τόδ' ἧς ἀρχῆς πεισίστρατος ἱππίου υἱὸς
θῆκεν ἀπόλλωνος πυθίου ἐν τεμένει.

Ἐπ' εἰκόνος ἰσοκράτους ῥήτορος. τιμοθέου.

τιμόθεος φιλίας τε χάριν, ξενίην τε προτιμῶν
ἰσοκράτους εἰκὼ τήνδ' ἀνέθηκε θεαῖς.

Τῇ ἀρτέμιδι ἀπ' ἀθηναίων.

παντοδαπῶν ἀνδρῶν γενεὰς, ἀσίας ἀπὸ χώρας,

παῖδες

παῖδες ἀθηναίων τῶδέ ποτ᾽ ἐν πελάγει
ναυμαχίᾳ δαμάσαντες ἐπεὶ στρατὸς ὤλετο μήδων
σήματα ταῦτ᾽ ἔθεσαν παρθένῳ ἀρτέμιδι.

Τῇ λητοῖ.

ταῦτ᾽ ἀπὸ δυσμενέων μήδων ναῦται διοδώρου
ὅπλ᾽ ἀνέθεν λητοῖ μνάματα ναυμαχίης.

Ἐπ᾽ εἰκόνων εὐχομένων γυναικῶν κορινθίων σιμωνίδου.

αἳ δ᾽ ὑπὲρ ἑλλάνων τε καὶ † ἰθυμάχων πολιητᾶν — † ἄγχι
† ἔσταθεν εὔξασθαι κύπριδι δαιμονίᾳ. — † αλ᾽ ἔστασαν
οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ᾽ ἀφροδίτη
μήδοις ἑλλάνων ἀκρόπολιν † προδόμεν — † αλ. δόμεναι

Ἀπὸ κορινθίων σιμωνίδου.

μέσσοι δ᾽ οἵτ᾽ ἐφύραν πολυπίδακα ναιετάοντες
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ.
οἵτε πόλιν γλαύκοιο κορίνθιον ἄστυ νέμοντες
ὧδε καλλίστων μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι, καὶ σφὶν ἀέξει
αὐτῶν τ᾽ εὐρεῖαν κληδόνα καὶ πατέρων.

Ταῖς μούσαις ἀπὸ εὐρυδίκης τῆς ἱλλυρίδος.

εὐρυδίκη ἱρὰ πολιῆτις τόνδ᾽ ἀνέθηκε
† εὔιστον μούσαις ψυχῇ ἑλοῦσα πόθον — † αλ. ἐΰ ἴστον
γράμματα γὰρ μνημεῖα λόγων μήτηρ γεγαῶσα
παίδων ἡβώντων ἐξεπόνησε μαθεῖν.

Εἰς τὴν πολυγνώτου γραφήν. σιμωνίδου

γράψε πολύγνωτος θάσιος γένος ἀγλαοφῶντος

υἱὸς πορθομένην ἰλίου ἀκρόπολιν.

Ἐπὶ στήλης ἀπὸ ἀρκάδων.

πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ
εὗρε δὲ μεσσήνης σὺν διῒ τὸν προδότην
ῥηϊδίως. χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ᾽ ἐπίορκον.
χαῖρε ζεῦ βασιλεῦ καὶ σάου ἀρκαδίαν.

Ἐπ᾽ ἀγαλμάτων ἐν νάξῳ.

νάξιος εὔεργός με γένει λητοῦς πόρε, βύζεω
παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

Ἐπὶ ἀσπίδος ἐν ὀλυμπίᾳ.

ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ τανάγρας
τῆς λακεδαιμονίοις συμμαχίδος γε τεθὲν
δῶρον ἀπ᾽ ἀργείων καὶ ἀθηναίων καὶ ἰώνων
τὰν δεκάταν νίκας εἵνεκα τῷ πολέμῳ.

Ἐπὶ τῆς τοῦ κυψέλου λάρνακος.

ἴδ᾽ ἃς μαρπίσσαν καλλίσφυρον ἣν ὁ ἀπόλλων
ἅρπασε, τὰν ἐκ ναοῦ ἄγει πάλιν οὐκ ἀέκουσαν

Ἐπὶ τῆς αὐτῆς ἐπὶ εἰκόνος τοῦ ἰάσονος.

μήδειαν ἰάσων γαμέει, κέλεται δ᾽ ἀφροδίτα

Ἐπὶ τῆς αὐτῆς. ἐπὶ ἀπόλλωνος καὶ μουσῶν εἰκόνος.

λατοΐδας οὗτος τάχ᾽ ἄναξ ἑκάεργος ἀπόλλων
μοῦσαι δ᾽ ἀμφ᾽ αὐτὸν χαρίεις χορὸς αἷσι κατάρχει.

Ἐπ᾽ ἄτλαντι. αὐτόθι.

ἄτλας δ᾽ οὐρανὸν οὗτος, ἔχει τὰ δὲ μᾶλα μεθήσει.

Ἐπὶ διοσκούροις αὐτόθι. ἔχει δὲ τὸ ἑξάμετρον ἑνὸς ὀνόματος προσθήκην.

τυνδα

τυνδαρίδα ἑλένην φέρετον, αἴθραν δ' ἀθάναθεν ἕλκετον.

Αὐτόθι ὑπὲρ ἰφιδάμαντος νεκροῦ.

ἰφιδάμας οὗτος τε κόων περιμάρναται αὐτοῦ

Ἐπὶ ἀσπίδος ἀγαμέμνονος.

οὗτος μὲν φόβος ἐστὶ βροτῶν ὁ δ' ἔχων ἀγαμέμνων

Ἐπὶ κρίσεως τῆς τοῦ πάριδος.

ἑρμείας ὅδ' ἀλεξάνδρῳ δείκνυσι διαιτῆν,
τοῦ εἴδους, ἥραν καὶ ἀθηνᾶν καὶ ἀφροδίταν.

Ἐπ' αἴαντι.

αἴας κάσσανδραν ἀπ' ἀθηναίας λοκρὸς ἕλκει.

Ἐπὶ κίονος ὑπολειφθείσης ἐξ οἰκίας οἰνομάου ἐν ὀλυμπίᾳ.

καὶ γὰρ ἐγὼ κείνων εἰμ' ὦ ξένε λείψανον οἴκων.
στῦλος ἐν οἰνομάου πρίν ποτ' ἐνοῦσα δόμοις.
νῦν δὲ παρὰ κρονίδην κεῖμαι τὰ δ' ἔχουσα τὰ δεσμά
τίμιος. οὐδ' ὀλοὴ δέξατο φλὸξ με πυρός.

Ἐπ' ἀναθήματος τῶν ἀπολλωνιατῶν.

μνάματ' ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
ἰονίῳ φοῖβος ᾤκισ' ἀκερσεκόμας
οἳ γᾶς τέρματ' ἑλόντες ἀβαντίδος, ἐνθάδε ταῦτα
ἔστασαν σὺν τοῖς ἐκ θεοῦ νίου δεκάταν.

Ἀπὸ κλειτορίων ἐπ' ἀγάλματος τοῦ διός.

κλειτόριοι τὸ δ' ἄγαλμα θεῷ δεκάτην ἀνέθηκαν
πολλᾶν ἐκ πολίων χερσὶ βιασάμενοι.

Ἐπὶ διὸς ἀγάλματος. ἀπὸ λακεδαιμονίων.

δέξο ἄναξ κρονίδα ζεῦ ὀλύμπιε καλὸν ἄγαλμα

ἱλαῷ θυμῷ τοῖς λακεδαιμονίοις.

Ἀπὸ τῶν ἀρχαίων.

τῷ διῒ τἀχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν
ἔκγονοι ἀντιθέου ταντταλίδα πέλοπος.

Ἐπὶ τοῦ ἰδομενέως ἀγάλματος.

πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα καὶ τόδ' ὀνάτα
ἔργον, ἐν αἰγίνῃ τὸν τέκε παῖδα μίκων.

Ἐπὶ τοῦ ἡρακλέους.

υἱὸς μὲν με μίκωνος ὀνάτας ἐξετέλεσσεν
αὐτὸς ἐν αἰγίνῃ δώματα ναιετάων.

Ἐφ' ἵππου. τὰ πρῶτα δ' ἐστὶν ἄμετρα.

φόρμις ἀνέθηκεν, ἀρκὰς μαινάλιος νῦν δὲ συρακούσιος.

Ἐπὶ τοῦ τῶν μενδαίων τῶν ἐν τῇ θρα-
κῃ ἀναθήματος.

ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
μενδαῖοι σίπτην χερσὶ βιασάμενοι.

Ἐπ' εἰκόνος λυσάνδρου τῶν σαμίων ἀναθέντων.

ἐν πολυθαήτῳ τεμένει διὸς ὑψιμέδοντος
ἕστηκ' ἀνθέντων δημοσίᾳ σαμίων.

Τοῦ αὐτοῦ.

ἀθανάτων πάτραν ὦ ἀεισοκείτων κλέος ἔργων
λύσανδρ' ἐκτελέσας δόξαν ἔχεις ἀρετῆς

Ἐπὶ χίλωνι τῷ πατρεῖ.

μουνοπάλῃ νικῶ δὶς ὀλύμπια πύθιά τ' ἄνδρας
τρεῖς νεμέᾳ, τετράκις δ' ἰσθμοῖ ἐν αἰγιαλῷ
χίλων ὃς πατρεὺς ἦν αὐτὰρ λαὸς ἀχαιῶν
ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

Ἐπὶ

Επὶ εἰκόνος δαμάρχου.

υἱὸς δινύτα δάμαρχος τήνδ' ἀνέθηκε
εἰκόν' ἀπ' ἀρκαδίας παῤῥάσιος γενεάν.

Επ' εἰκόνος φίλωνος. τοῦ σιμωνίδου.

πατρὶς μὲν κόρκυρα. φίλων δ' ὄνομ' εἰμὶ δὲ γλαύκου
υἱὸς καὶ νικῶ πὺξ δύ' ὀλυμπιάδας.

Επ' εἰκόνων θεοπόμπου πατρὸς καὶ υἱοῦ.

εὐτελίδας καὶ χρυσόθεμις τὰ δὲ ἔργα τέλεσσαν
ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

Εφ' ἅρματος. κλεοσθένους ἐν ὀλυμπίᾳ.

κλεοσθένης μ' ἀνέθηκεν ὁ πόντιος ἐξ ἐπιδάμνου
νικήσας ἵπποις καλὸν ἀγῶνα διός.

Επὶ στήλης λύκου κέλητος.

ὠκυδρόμοις λύκος ἴσθμι' ἅπαξ, δύο δ' ἐνθάδε νίκαις
φειδώλα παίδων ἐστεφάνωσε δόμους.

Τελευτὴ ἐπιγράμματος τοῦ ἐπὶ ἐπερά-
στω ἐν ὀλυμπίᾳ.

τῶν δ' ἱερογλώσσων κλυτιδᾶν γένος εὔχομαι εἶναι
μάντις ἀπ' ἰσοθέων αἷμα μελαμποδιδᾶν.

Επὶ κέρατος ἀμαλθείας μιλτιάδου
ἀναθέντος.

ζηνί μ' ἄγαλμ' ἀνέθηκαν ὀλυμπίῳ ἐκ χερονήσου
τεῖχος ἑλόντος ἀράτου. ἐπῆρχε δὲ μιλτιάδης σφίν.

Τοῦ κλεοίτα ἐπ' ἀνδριάντος ἀθήνησι.

ὃς τὴν ἱππάφεσιν ἐν ὀλυμπίᾳ εὕρατο πρῶτος
τεῦξέ με κλεοίτας υἱὸς ἀριστοκλέους.

Επὶ οἰβώτα.

οἰνία

φινία οἰβώτας στάδιον νικῶν ὁ δ' ἀχαιός.
πατρίδα πάλειαν θῆκ' ὀνομαστοτέραν.

Επὶ πέπλου ἀπὸ λαοδίκης τῇ ἀθηνᾷ.

λαοδίκης ὁ δὲ πέπλος ἑᾷ δ' ἀνέθηκεν ἀθάνᾳ.
πατρίδ' ἐς εὐρύχορον, κύπρου ἀπὸ ζαθέας.

Επ' ἀναθημάτων ἱέρωνος τοῦ γέλωνος.
ἀπὸ δεινομένους υἱοῦ.

σόν ποτε νικήσας ζεῦ ὀλύμπιε σεμνὸν ἀγῶνα
τεθρίππῳ μὲν ἅπαξ μουνοκέλητι δὲ δίς,
δῶρ' ἱέρων τάδε σοι ἐχαρίσατο, παῖς δ' ἀνέθηκε
δεινομένης πατρὸς μνῆμα συρακοσίου.

Επ' εἰκόνος φιλοποίμενος ἀπὸ τεγεατῶν.

τοῦ δ' ἀρετὰ καὶ δόξα καθ' ἑλλάδα πολλὰ μὲν ἀλκαῖς
πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου
ἀρκάδος αἰχμητᾶ φιλοποίμενος, ᾧ μέγα κῦδος
ἕσπετ' ἐνὶ πολέμῳ δούρατος ἁγεμόνι.
μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων.
σπάρτας, αὐξομέναν δ' ἄρατο δουλοσύναν.
ὧν ἕνεκεν τεγέα μεγαλόφρονα κραύγιδος υἱὸν
στᾶσεν ἀμωμήτου κράντορ' ἐλευθερίας.

Επὶ θαλάμου ἀμφιτρύωνος.

ἀμφιτρύων ὅτ' ἔμελλ' ἀγαγέσθαι δεῦρο γυναῖκα
ἀλκμήνην θάλαμον γ' ἐλέξατο τοῦτον ἑαυτῷ
ἀγχάσιος δ' ἐποίησε τροφώνιος ἠδ' ἀγαμήδης

Επ' ἀνδριάντος τοῦ ἐπαμινώνδου.

ἁμετέραις βουλαῖς σπάρτη μὲν ἐκείρατο δόξαν
μεσσήνη δ' ἱερὰ τέκνα χρόνῳ δέχεται.

θῆβαι δ' ὅπλοισι μεγάλη πόλις ἐστεφάνωται
αὐτονόμος δ' ἑλλὰς πᾶσ' ἐν ἐλευθερίῃ.

Επ' ἀσπίδος κυδίου ἀποθανόντος ἐν τῇ πρὸς γαλάτας μάχῃ.

ἦ μάλα δὴ ποθέουσα νέαν ἔτι κυδίου ἥβην
ἀσπὶς ἀριζήλου φωτὸς ἄγαλμα διί.
ἃς διὰ δὴ πρώτας λαιὸν ποτὶ πῆχυν ἔτεινε.
εὖτ' ἐπὶ τὸν γαλάταν ἤκμασε θοῦρος ἄρης.

Εἰς γραφὴν γεφυρωθέντος βοσπόρου.

Βόσπορον ἰχθυόεντα γεφυρώσας, ἀνέθηκε
μανδροκλέης ἥρῃ μνημόσυνον σχεδίης
αὐτῷ μὲν στέφανον περιθείς, σαμίοισι δὲ κῦδος
δαρείου βασιλέως ἐκτελέσας κατὰ νοῦν.

Επὶ τρίποδος ἀπ' ἀμφιτρύωνος, θήβησι.

ἀμφιτρύων μ' ἀνέθηκεν † ἑὼν ἀπὸ τηλεβοάων. † ἄλ. ἑλὼν

Επ' ἄλλου τρίποδος.

σκαῖος πυγμαχέων με ἑκηβόλῳ ἀπόλλωνι
νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

Επ' ἄλλου.

λαοδάμας τρίποδ' αὐτὸν ἐϋσκόπῳ ἀπόλλωνι
μουναρχέων ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

Από ἀθηναίων ἐκ δεκάτης.

ἔθνεα βοιωτῶν καὶ χαλκιδέων δαμάσαντες
παῖδες ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν
τῶν ἵππους δεκάτην παλλάδι τάσδ' ἔθεσαν

Επὶ τοῦ τῶν ῥοδίων κολοσσοῦ.

αὐτῷ σοὶ πρὸς ὄλυμπον ἐμηκύναντο κολοσσὸν
τόνδε ῥόδου ναέται δωρίδος ἀέλιε.
χάλκεον, ἡνίκα κῦμα κατευνάσαντες ἐνυοῦς
ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.

Επὶ φιάλης ἀνατεθείσης ἀπόλλωνι τῷ ἐν διδύμοις ὑπὸ θαλοῦ.

θαλῆς με τῷ μεδέοντι νείλεω δήμου
δίδωσι τοῦτο δὶς λαβὼν ἀριστεῖον.

Επὶ εἰκόνος χείλωνος τοῦ σπαρτιάτου.

τὸν δὲ δορυστεφάνου σπάρτα χείλων' ἐφύτευσεν
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίῃ.

Επ' εἰκόνος ἀρτέμιδος.

ἀρτέμιδος τόδ' ἄγαλμα. διηκόσιαι γὰρ ὁ μισθὸς
δραχμαὶ ταὶ πάριαι τῶν ἐπίσημ' ἄρατος
ἀσκητὸς δ' ἐποίησεν ἀθηναίης παλάμῃσι
ἄξιος ἀρκεσίλας ὑὸς ὁ ἀριςοδίκου

Επὶ πίνακος ἀργυρᾶς εἰκόνα ἐχούσης βοὸς καὶ τράγου.

πῶς βοῦς ὑπάρχων αὔλακας γῆς οὐ τέμνεις;
ἀλλ' ὡς πάροινος ἀγρότης ἀπεκλίθης;
πῶς οὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις.
ἀλλ' ἀργυροῦν εἴδωλον ἕστηκας τράγε;
ἕστηκα τὴν σὴν ἐξελέγχων ἀργίαν.

Επ' εἰκόνος ἑρμίου ἐν δελφοῖς. ἀπ'.
ἀριςοτέλους.

τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν περσῶν τοξοφόρων βασιλεὺς

οὐ φα/

οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίως.

Ἐπὶ χαλκῆς εἰκόνος τοῦ χρυσίππου. ἀπ' ἀριστοκρέοντος ἐκείνου μαθητοῦ.

τὸν δὲ νέον χρύσιππον ἀριστοκρέων ἀνέθηκε.
τῶν ἀκαδημαϊκῶν στραγγαλίδων κοπίδα.

Ἐπ' εἰκόνος χαλκῆς τοῦ ἰσοκράτους. ὑπὸ ἀφαρέως τοῦ υἱοῦ.

ἰσοκράτους ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
† υἱὸς, θεοὺς σέβων καὶ γονέων ἀρετήν.

Ἐπὶ ἀναθήματος τοῦ τῶν κυψελιδῶν ἐν ὀλυμπίᾳ. † al' ζηνὶ

αὐτὸς ἐγὼ χρυσοῦς σφυρήλατος εἰμὶ κολοσσὸς
ἐξώλης εἴη κυψελιδῶν γενεά.

Ἐπὶ βωμοῦ διὸς τοῦ ὁρείου.

τὸν δὲ καθιδρύσαντο θεῷ πολυκαλλέα βωμόν.
λοῦκης καὶ πελλεοῦ μέσσον ὅρον θέμενοι
ἐνναέται χώρης σημήιον. ἀμμορίης δὲ
αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος κρονίδης.

Ἐπὶ στήλης ἐπίγραμμα διοριστικὸν χώρας ἀπὸ θησέως. πρὸς ἕω.

τάδ' οὐχὶ πελοπόννησος ἀλλ' ἰωνία.

Πρὸς ἑσπέραν.

τάδ' ἐστὶ πελοπόννησος οὐκ ἰωνία.

Ἐπ' ἀνδριάντος μαρκέλλου ἐν λίνδῳ.

οὗτός τοι ῥώμης ὁ μέγας ξένε πατρίδος ἀστὴρ
μάρκελλος, κλεινῶν κλαυδιὸς ἐκ πατέρων

ἑπτὰ

ἑπτὰ κεῖται ὑπάτων ἀρχὰν ἐν ἄρεϊ φυλάξας
καὶ πολλῶν ἀντιπάλων ἐγκατέχευε φόνον.

Ἐπὶ ἀσπίδος ἀργυρᾶς ἐν δελφοῖς ἀπὸ
τίτου φλαμινίου.

ζηνὸς ἰὼ κραιπναῖσι γεγαθότες ἱπποσύναισι
κοῦροι ἰὼ σπάρτης τυνδαρίδαι βασιλεῖς
αἰνεάδας τίτος ὔμμιν ὑπέρτατον ὤπασε δῶρον
ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν

Ἐπὶ χρυσοῦ στεφάνου. ἀπὸ τοῦ αὐτοῦ.

τὸν δέ τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
κεῖσθαι λατοΐδα χρυσοφαῆ στέφανον
ὃν πόρεν αἰνεαδᾶν ταγὸς μέγας. ἀλλ᾽ ἑκάεργε
ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε τίτῳ.

Ἐπὶ τρισὶ λιθίνοις ἑρμαῖς τοῖς σὺν κίμω
νι ἀνδραγαθήσασι ἐν τῇ θρᾴκῃ.
ἐπὶ τοῦ πρώτου.

ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι οἵ ποτε μήδων.
παισὶν ἐπ᾽ ἠϊόνι στρυμόνος ἀμφὶ ῥοὰς
λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπάγοντες ἄρηα
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

Ἐπὶ τοῦ δευτέρου.

ἡγεμόνεσσι δὲ μισθὸν ἀθηναῖοι τάδ᾽ ἔδωκαν
ἀντ᾽ εὐεργεσίης καὶ μεγάλης ἀρετῆς
μᾶλλον τίς τάδ᾽ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσιν πράγμασι μόχθον ἔχειν.

Ἐπὶ τοῦ τρίτου.

ἔκ ποτε τῆσδε πόλιος ἅμ᾽ ἀτρείδῃσι μενεσθεὺς
ἡγεῖτο

ἡγεῖτο ζάθεον τρωϊκὸν ἀμπέδιον,
ὃν ποθ' ὅμηρος ἔφη δαναῶν πύκα χαλκοχιτώνων
κοσμήτορα μάχης ἔξοχον ἄνδρα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Τοῖς ἀπὸ φυλῆς τὸν δῆμον καταγαγοῦσι.

τοὺς δ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος ἀθηναίων οἵ ποτε τοὺς ἀδίκως
θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
ἦρξαν. κίνδυνον σώμασιν ἀράμενοι.

Εφ' ἑνὶ τῶν ἑρμῶν τῶν ἱππάρχου.

μνῆμα τόδ' ἱππάρχου στεῖχε δίκαια φρονῶν.

Εφ' ἑτέρῳ.

μνῆμα τόδ' ἱππάρχου μὴ φίλον ἐξαπάτα.

Επ' εἰκόνος χαλκῆς. ἀράτω σικυωνίου.

βουλαὶ μὲν καὶ ἄεθλα καὶ ἡ περὶ ἑλλάδος ἀλκά
τοῦδ' ἀνδρὸς στήλας πλάθεται ἡρακλέους
ἁμεῖς δ' εἰκὸν' ἄρατε τεὰν νόστοιο τυχόντες
στάσομεν ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας
σωτῆρος σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
δαίμονι σῷ θείαν ὤπασας εὐνομίαν.

Επ' εἰκόνος σόλωνος.

ἡ μήδων ἄδικον παύσασ' ὕβριν ἥδε σόλωνα
τόνδε τεκνοῖ σαλαμὶς θεσμοθέτην ἱερόν.

Επ' εἰκόνος αἰτωλοῦ.

χώρης οἰκιστῆρα παρ' ἀλφειοῦ ποτε δίναις
τρεφθέντα σταδίου γείτον' ὀλυμπιάδος

ἐνδυμίωνος παῖ δ᾽ αἰτωλοῦ τόν δ᾽ ἀνέθηκαν
αἰτωλοὶ σφετέρας μνῆμ᾽ ἀρετῆς ἐσορᾶν.

Ἐν ἤλιδι ἐπ᾽ ἀνδριάντος ὀξύλου

αἰτωλός ποτε τοῦ δὲ λιπὼν αὐτόχθονα δῆμον.
κτήσατο κουρῆτιν γῆν δορὶ πολλὰ καμών
τῆς δ᾽ αὐτοῦ γενεᾶς δεκατοσπόρος αἵμονος υἱός
ὄξυλος ἀρχαίην ἔκτισε τήνδε πόλιν.

Ἐπ᾽ ἀσπίδων ἑλληνικῶν μαμέρκου τοῦ τυράννου ἐν σικελίᾳ.

τὰς ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσι.

Ὑβλαίῳ κήρυκι.

ὑβλαίῳ κήρυκι τόδ᾽ ἀρχία εὐκλέος υἱῷ
δέξαι ἄγαλμ᾽ εὔφρων φοῖβ᾽ ἐπ᾽ ἀπημοσύνῃ
ὃς τρὶς ἐκήρυξεν τὸν ὀλυμπιάσ᾽ αὐτὸς ἀγῶνα
οὔθ᾽ ὑπὸ σαλπίγγων οὔτ᾽ ἀναδείγματ᾽ ἔχων.

Ἐφ᾽ ὑδρίᾳ ἐν ἱερῷ παντικαπαιέων.

εἴτις ἀρ᾽ ἄνθρωπον μὴ πείθεται οἷα παρ᾽ ἡμῖν
γίγνεται εἰς τήνδε γνώτω ἰδὼν ὑδρίαν.
ἣν οὐχ ὡς ἀνάθημα θεοῦ καλὸν ἀλλ᾽ ἐπίδειγμα
χειμῶνος μεγάλου θῆχ᾽ ἱερεὺς στράτιος.

Ἐπ᾽ ἀνδριάντι ἀθήνησι,

δὶ φίλου ἀνθεμίων τόνδ᾽ ἵππον θεοῖς ἀνέθηκε
θητικοῦ ἀντὶ τέλους ἱππάδ᾽ ἀμειψάμενος.

Ἐπὶ ναοῦ ἀπὸ σταδίου.

σοῦ διὸς ἀγλαὸν οἶκον ἐδείματο καρπαλίμως δὲ
ὧν ἐκάμ᾽ εὕρατο μισθὸν ἑλὼν ὑπατηΐδα ῥάβδον.

Επ' ἀσπίδων μακεδονικῶν ἐν δωδώνῃ ἀπὸ πύῤῥου.

αἵ δέ ποτ' ἀσίδα γαῖαν ἐπόρθησαν πολύχρυσον
αἵ δέ καὶ ἑλλάδι ταὶ δουλοσύναν ἔπορον
νῦν δὲ διὸς ναῷ ποτὶ κίονας ὄρφανα κεῖται
τὰ μεγαλαυχήτου σκῦλα μακηδονίας.

Τοῖς ἀθηναίοις. ἐν ποικίλῃ.

ἑλλήνων προμαχοῦντες ἀθηναῖοι μαραθῶνι
ἔκτειναν μήδων εἴκοσι μυριάδας.
ἢ ὥσπερ ἄλλοι ὑπὲρ τὸν στίχον γράφουσι
χρυσοφόρων μήδων ἐστόρεσαν δύναμιν.

## ΕΠΙΤΑΦΙΑ ΘΕΩΝΙ ΑΥΛΗΤΗ ΗΔΥΛΟΥ.

Τοῦτο θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητὴς, μίμων κὴν θυμέλῃσι χάρις
τυφλὸς ὑπαὶ γήρως. εἶχεν καὶ σκίρπαλον υἱὸν
νήπιον ὄντ' ἐκάλει σκίρπαλον εὐπάλαμον
ἀείδων αὐτοῦ τὰ γενέθλια, τοῦτο γὰρ εἶχε.
πανήμαρ ἤδημα σημαίνων
ηὔλει δ' ἢ γλαύκης μεμεθυσμένα παίγνια μουσῶν
ἢ τὸν ἐν ἀκρήτοις βάτταλον ἡδυπότην
ἢ καὶ κώταλον, ἢ καὶ πάκταλον, ἀλλὰ θέωνα.

τὸν κα-

τὸν καλαμαυλήτην εἴπατε χαῖρε θέων.

Τῷ ἡροδότῳ.

ἡρόδοτον λύξεω κρύπτει κόνις ἥδε θανόντα
  ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν.
δωριέων πάτρης βλαστόντ' ἄπο. τῶν γὰρ ἄπλητον
  μῶμον ὑπεκπροφυγὼν θούριον ἔσχε πάτρην.

Τῷ μάχωνι.

τῷ κωμῳδογράφῳ κούφη κόνι τὸν φιλάοιδον
  κισσὸν ὑπὲρ τύμβου ζῶντι μάχωνι φέροις
οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλ' ἄρα τέχνης
  ἄξιον ἀρχαίης λείψανον ἀμφιέσαι
τοῦτο δ' ὁ πρέσβυς ἐρεῖ, κέκροπος πόλι, καὶ παρὰ νείλῳ
  ἔστιν ὅτ', ἐν μούσαις δριμὺ πέφυκε φυτόν.

Τῷ σαρδαναπάλῳ.

εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι, θανόντι σοι οὔτις ὄνασις
καὶ γὰρ ἐγὼ σποδός εἰμι νίνου μεγάλης βασιλεύσας
κεῖν' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ σὺν ἔρωτι
†al. λέλειπται τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα †λέλυνται
ἥδε σοφὴ βιότοιο παραίνεσις, οὐδέ ποτ' αὐτῆς
λήσομαι. κτηκάσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

Τοῦτο ὁ χρύσιππος οὕτω μετήλλαξε.

εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε
τερπόμενος μύθοισι, φαγόντι σοι οὔτις ὄνασις,
καὶ γὰρ ἐγὼ κακός εἰμι φαγὼν ὡς πλεῖστα καὶ ἡσθείς
ταῦτ' ἔχω ὅσσ' ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ τούτων
ἐσθλ' ἔπαθον, τὰ δὲ λοιπὰ καὶ ἡδέα πάντα λέλειπται.

Τῷ Βακ-

Τῷ Βακχίδᾳ.

σῖγμ, φέγγε, καὶ πάντα τὰ ψυχᾶς, δῶμα·
κἀγὼ γὰρ ἕστακ' ἀντὶ Βακχίδα λίθος.

Τῷ Φιλητᾷ θανόντι ἐν τῷ ζητεῖν τὸν ψευδολόγον καλούμενον.

ξεῖνε Φιλητᾶς εἰμὶ λόγων ὁ ψευδόμενός με
ὤλεσε καὶ νυκτῶν φροντίδες ἑσπέριοι.

Τῷ ἀρκαδίωνι πολυπότῳ. πολέμονος.

τοῦ πολυκώθωνος τοῦτ' ἠρίον ἀρκαδίωνος
ἄστεος ὄρθωσαν τῇδε παρ' ἀτραπιτῷ
υἷες δόρκων καὶ χαρμύλος. ἔσβη ὁδ' ὠνὴρ
ἄνθρωπ' ἐκ χανδῆς ζωροποτῶν κύλικος

Τῷ ἐρασιξένῳ.

τὸν βαθὺν οἰνοπότην ἐρασίξενον, ἡ δὶς ἐφεξῆς
ἀκρήτου φανερῶς ᾤχετ' ἔχουσα κύλιξ.

Τῷ πυθέᾳ.

πυθέω μνῆμα τόδ' ἐστ' ἀγαθοῦ καὶ σώφρονος ἀνδρὸς
ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον
ἀργυρέων, χρυσοῦ τε καὶ ἠλέκτροιο φαεινοῦ.
τῶν προτέρων πάντων πλείονα πασσάμενος.

Τῇ λαΐδι.

τὴν δὲ ποθ' ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν
ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου
λαΐδος ἣν τέκνωσεν ἔρως, θρέψεν δὲ κόρινθος
κεῖται δ' ἐν κλεινοῖς θετταλικοῖς πεδίοις.

Τῷ αἰσχύλῳ.

αἰσχύλον εὐφορίωνος ἀθηναῖον, τόδε κεύθει

μνῆμα καταφθιμένου πυροφόροιο γέλα·
ἀλκὴν δ' εὐδόκιμον μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις μῆδος ἐπιστάμενος

Τῷ Βακχείδᾳ.

ἀμφότερον ὠρχεύμην τε καὶ ἐν μούσαις ἐδίδασκον
ἄνδρας, ὁ δ' αὐλητὴς ἦν Ἄνακος φιγαλεύς
εἰμὶ δὲ Βακχείδας σικυώνιος. ἦρα θεοῖσι
τᾷ σικυῶνι καλὸν τοῦτ' ἀπόκειτο γέρας.

Τῇ ὁμονοίᾳ. ἀτίμητος ὁ ἀνήρ.

ἡ πολὺ σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχῳ
καὶ θοίναις αὐτῆς χρυσοτέρη κύπριδος
ἡ καλὴ φλυαρῆτις χελιδὼν ἔνθ' ὁμόνοια
κεῖμαι ἀτιμήτῳ δάκρυα λειπομένη
τοῦδε πέλου ἀσπασίη Βαιῆς ἄπο. τὴν δὲ τοσαύτην
δαίμων ἀπροΐδης ἐσκέδασεν φιλίαν.

Τῇ ἀρχεδίκῃ θυγατρὶ μὲν ἱππίου γαμετῇ δὲ ἱπ-
πόκλου τοῦ λαμψακηνοῦ.

ἀνδρὸς ἀριστεύσαντος ἐν ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην

Τοῖς κορινθίοις ταφεῖσιν ἐν σαλαμῖνι.

ὦ ξεῖνε εὔυδρόν ποτ' ἐναίομεν ἄστυ κορίνθου
νῦν δὲ ἀνάματος νᾶσος ἔχει σαλαμίς
ἐνθάδε φοινίσσας νῆας καὶ πέρσας ἑλόντες
καὶ μήδους ἱερὰν ἑλλάδα ῥυόμεθα.

Τῶν αὐτῶν ἐν ἰσθμῷ ἐπὶ κενοταφίῳ.

ἡμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ ἑλλάδα πᾶσαν.
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

Ἀδειμάντῳ τῷ κορινθίῳ.

οὗτος ἀδειμάντου τάφος ὃν διὰ πᾶσα ἡ ἑλλὰς
κοινὸν ἐλευθερίης ἀμφέθετο στέφανον.

Ἡρώδῃ τῷ ἀττικῷ.

ἀττικοῦ ἡρώδης μαραθώνιος, οὗ τάδε πάντα
κεῖται τῷ δὲ τάφῳ πάντοθεν εὐδόκιμος.

Ἀσβόλῳ τῷ λῃστῇ ἀνακρεμασθέντι ὑφ' ἡρακλέους.

ἄσβολος οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων
ὀξυκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος ἐκ πεύκης
ἄγκειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσι.

Εἰς ἐρετριέας τῶν εἰς τὴν περσίδα ἀπαχθέντων.

οἵδε ποτ' αἰγαίοιο βαθύῤῥοον οἶδμα πλέοντες
ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς ἐρέτρια, χαίρετ' ἀθῆναι
γείτονες εὐβοίης, χαῖρε θάλασσα φίλη.

Ἄκρωνι τῷ ἰατρῷ. ἐμπεδοκλέους.

ἄκρον ἰατρὸν ἄκρων' ἀκραγαντῖνον, πατρὸς ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

Τῷ σόλωνι λαερτίου.

σῶμα μὲν ἦρε σόλωνος ἐν ἀλλοδαπῇ κύπριον πῦρ
ὀστᾶ δ' ἔχει σαλαμὶς ὧν κόνις ἀστάχυες
ψυχὴν δ' ἄξονες εὐθὺς ἐς οὐρανὸν ἤγαγον. εὖ γὰρ
θῆκε νόμους αὐτοῖς ἄχθεα κουφότατα.

Τῷ πιττακῷ.

τοῖς ἰδίοις δακρύοις ἡ γειναμένη καταθάπτει

ἐνθάδε δὴ λέσβος πιττακὸν ἡ δ᾽ ἱερά.

Τοῦ κλεοβούλου.

ἄνδρα σοφὸν κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
ἡ δὲ πάτρη λίνδος πόντω ἀγαλλομένη.

Τοῦ περιάνδρου.

πλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε κόρινθος
κόλποις ἀγχιάλοις γῆ περίανδρον ἔχει.

Εἰς τὸν αὐτὸν. λαερτίου.

μή ποτε λυπήσει σε τὸ μὴ σε τυχεῖν τινὸς, ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς περίανδρος ἀπέσβη
οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.

Τοῦ φερεκύδους.

τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος. εἰ δέ τι πλεῖον
πυθαγόρῃ τὠμῷ λέγε ταῦθ᾽, ὅτι πρῶτος ἁπάντων
ἐστὶν ἀν᾽ ἑλλάδα γῆν, οὐ ψεύδομαι ὧδ᾽ ἀγορεύων.

Τοῦ αὐτοῦ. λαερτίου. φερεκράτειον.

τὸν κλεινὸν φερεκύδην
ὃν τίκτει ποτὲ σύρος
ἐς φθεῖρας λόγος ἐστὶν
ἀλλάξαι τὸ πρὶν εἶδος
θεῖναί τ᾽ εὐθὺ κελεύειν
μαγνήτων ἵνα νίκην
δοίη τοῖς ἐφέσοιο
γενναίοις πολιήταις.
ἦν γὰρ χρησμὸς, ὃν ἤδει
μοῦνος, τὸν κελεύων

καὶ θνήσκει παρ' ἐκείνοις
ἆρ' οὖν τοῦτ' ἄρ' ἀληθὲς
ἦν, ὅτις σοφὸς ὄντως
καὶ ζῶν οὐδὲν ὄνησεν
ὤταν μηδ' ἓν ὑπάρχῃ.

Τῷ σωκράτει. λαερτίου.

πῖνε νῦν ἐν διὸς ὤν, ὦ σώκρατες. ἦ σε γὰρ ὄντως
καὶ σοφὸν εἶπε θεός, καὶ θεὸν ἡ σοφίη.
πρὸς γὰρ ἀθηναίων κώνειον μὲν ἁπλῶς σὺ ἐδέξω,
αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

Τῷ ξενοφῶντι. λαερτίου.

εἰ καὶ σε ξενοφῶν κραναοῦ κέκροπός τε πολῖται
φεύγειν κατέγνων τοῦ φίλου χάριν κύρου.
ἀλλὰ κόρινθος ἔδεκτο φιλόξενος, ἧ σε φιληδῶν
οὕτως ἀρέσκει, κεῖθι καὶ μένειν ἔγνως.

Ἀλεξίνῳ πλείω ὑπὸ καλάμου τραύματος
ἀποθανόντι. λαερτίου.

οὐκ ἄρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος
ὡς ἀτυχής τις ἐὼν
τὸν πόδα κολυμβῶν περιέπειρεθ' ὡς ἥλῳ
καὶ γὰρ ὁ σεμνὸς ἀνὴρ
πρὶν ἀλφειόν ποτ' ἐκπερᾶν ἀλεξῖνος,
θνῆσκε νυχθεὶς καλάμῳ.

Διοδώρῳ τῷ κρόνῳ. λαερτίου.

κρόνε διόδωρε τίς σε δαιμόνων κακῇ
ἀθυμίᾳ ξυνείρυσεν.
ἵν' αὐτὸς αὑτὸν ἐμβάλῃς εἰς τάρταρον,

στίλπωνος οὐ λύσας ἔπη
αἰνιγματώδη, τοιγὰρ εὑρέθης κρόνος
ἔξωθεν τοῦ ῥῶ κάππα τε.

Τῷ στίλπωνι. λαερτίου.

μεγαρέα τὸν στίλπωνα γιγνώσκεις δ' ἴσως.
γῆρας ἔπειτα νόσος καθεῖλε δύσμαχον ζυγόν.
ἀλλ' οἶνον εὗρε τῆς κακῆς ξυνωρίδος
φέρτερον ἡνίοχον. πιὼν γὰρ ἅρμ' ἀπήλασεν.

Τῷ μενεδήμῳ. λαερτίου.

ἔκλυον δὲ καὶ τεὸν μενέδημε μόρον ὡς
ἑκὼν ἀπέσβης ἡμέραισ' ἐν ἑπτὰ
μηδὲν μὲν ἐσθίων, κατ' ἔργον ἔρξας
ἐρετρικὸν μὲν ἀλλ' ὅμως ἄνανδρον
ἀψυχίη γὰρ ἡγεμὼν ἐπῆγε.

Ἀστέρι τοῦ πλάτωνος ἐρωμένῳ.

ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος,
νῦν δὲ θανὼν λάμπεις ἕσπερος ἐν φθιμένοις.

Τῷ πλάτωνι.

σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
ἐνθάδε δὴ κεῖται δῖος ἀριστοκλέης
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον
οὗτος ἔχει πλεῖστον, καὶ φθόνος οὐχ ἕπεται.

Τῷ ξενοκράτει. λαερτίου.

χαλκῇ προσπταίσας λεκάνῃ ποτέ, καὶ τὸ μέτωπον
πλήξας, ἴαχεν ὦ σύντομον, εἶτ' ἔθανεν
ὁ πάντα πάντῃ ξενοκράτης ἀνὴρ γεγώς.

Τῷ πολέμωνι. λαερτίου.

οὐκ ἀίεις Πολέμωνα κεκεύθαμεν, ὃν θέτο τῇδε
ἀῤῥωστία τὸ δεινὸν ἀνθρώποις πάθος
οὐ μᾶλλον Πολέμωνα, τὸ σῶμα δέ, τοῦτο γὰρ αὐτὸς
μέλλων εἰς ἄστρα διαβαίνειν θῆκεν χάμαι.

Τῷ κράτητι καὶ τῷ πολέμωνι ὁμοῦ τα-
φεῖσι ἀνταγόρα.

μνήματι τῷδε κράτητα θεουδέα καὶ πολέμωνα
ἔννεπε κρύπτεσθαι ξεῖνε παρερχόμενος
ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἄπο μῦθος
ἱερὸς ἤϊσσεν δαιμονίου στόματος
καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
αἰὼν ἀστρέπτοις δόγμασι πειθόμενος.

Τῷ κράντορι. θεαιτήτου.

ἥνδανεν ἀνθρώποις ὅδ' ἐπὶ πλέον ἥνδανε μούσαις
κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω
γῆ σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑποδέξαι,
ἦ ῥ' ὅγε καὶ ζώει κεῖθι ἐν εὐθυμίᾳ.

Τῷ αὐτῷ ὑδρωπὶ θανόντι. λαερτίου.

ἐπέκλυσε καὶ σὲ κράντορ ἡ νόσων κακίστη
χοὕτως κατῆλθες εἰς μέλαιναν
πλουτέως ἄβυσσον.
καὶ σὺ μὲν ἐκεῖθι νῦν χαίρεις τῶν σῶν λόγων δὲ
χήρη καθέστηκεν ἀκαδημία
καὶ σόλοι πατρὶς σεῦ.

Μηνοδώρῳ τινὶ φρυγίῳ. ἀρκεσιλάου.

τηλοῦ μὲν φρυγίη, τηλοῦ δ' ἱερὴ θυάτειρα,
ὦ μηνόδωρε σὴ πατρὶς καδανάδη

ἀλλὰ γὰρ εἰς ἀχέροντα τὸν οὐ φατὸν ἶσα κέλευθα,
ὡς δεινός, ἀνδρῶν πάντοθεν μετρούμενα
σῆμα δέ τοι τὸ δ' ὄρεξεν ἀειφραδὲς, οὐδαμὸς, ὦ σὺ
πολλῶν ποιητέων ἦσθα προσφιλέστερος.

Τῷ ἀρκεσιλάῳ ἀκρατοποσίᾳ θανόντι.

ἀρκεσίλαε τί μοι, τί τοσοῦτον ἄκρητον ἀφειδῶς
ἔσπασας ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἑῶν;
οἰκτείρω σ' οὐ τόσον ἐπεὶ θάνες, ἀλλ' ὅτι μούσας
ὕβρισας, οὐ μετρίῃ χρησάμενος κύλικι.

Σελινουσίοις.

σβεννύντας ποτὲ τούς δε τυραννίδα χάλκεος ἄρης
εἷλε, σελινοῦντος δ' ἀμφὶ πύλας ἔθανον.

Τῷ λακύδῃ παραλυτικῷ ἐκ πολυποσίας θανόντι.

καὶ σέο λακύδη φάτιν ἔκλυον, ὡς ἄρα καὶ σὺ
βάκχος ἑλὼν ἀΐδην ποσσὶν ἔσυρεν ἄκροις
ἦ σαφὲς ἦν; διόνυσος ὅταν πολὺς ἐς δέμας ἔλθοι
λῦσε μέλος, διὸ δὴ μή τι λυαῖος ἔφυ.

Τῷ καρνεάδῃ λαβρίου λογαοιδικὸν ἀρχεβούλειον.

τί με καρνεάδη, τί με μοῦσα θέλεις ἐλέγχειν
ἀμαθὴς ὃς οὔτι κάτοιδεν ὅπως δεδοίκει
τὸ θανεῖν. ὅτε καὶ φθισικὴν ποτ' ἔχων κακίστην
νόσον, οὐκ ἔθελε λύσιν ἰσχέμεν, ἀλλ' ἀκούσας
ὅτι φάρμακον ἀντίπατρος πιὼν ἀπέσβη
δότε τοίνυν ἔφησε τι κἀμοὶ πιεῖν. τί μὲν τοι
τί; δότ' οἰνόμελι. σφόδρα τ' εἶχε πρόχειρα ταυτὶ
φύσις ἡ συνέχουσά με καὶ διαλύσεται δὴ

καὶ ὁ

καὶ ὁ μὲν οὐδὲν ἔλασσον ἔβη ὑπὸ γῆς, γνῶναι δὲ
τὰ πλέω κακὰ κέρδε' ἔχοντα μολεῖν ὑπ' ἀΐδην

Ἑρμίᾳ τῷ εὐνούχῳ. σκῶμμα εἰς ἀριστοτέλη
θεοκρίτου τοῦ χίου.

ἑρμίου εὐνούχου, ἠδ' εὐβούλου ἅμα δούλου
σῆμα κενὸν κενόφρων τεῦξεν ἀριστοτέλης.

Τῷ ἀριστοτέλει. λαερτίου.

εὐρυμέδων ποτ' ἔμελλεν ἀριστοτέλην ἀσεβείας
γράψασθαι δηοῦς μυστίδος ὢν πρόπολος·
ἀλλὰ πιὼν ἀκόνιτον ὑπεξέφυγε. τοῦτ' ἀκονιτὶ
ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.

Δημητρίῳ τῷ φαληρεῖ. λαερτίου.

παρ' ἡμῶν ἀνεῖλεν ἀσπὶς τὸν σοφὸν δημήτριον
ἰὸν ἔχουσα πολὺν
ἄσμηκτον, οὐ στίλβουσα φῶς ἀπ' ὀμμάτων
ἀλλ' ἀΐδην μέλανα

Τῷ ἀντισθένει. λαερτίου.

τὸν βίον ἦσθα κύων ἀντίσθενες ὧδε πεφυκὼς
ὥστε δακεῖν κραδίην ῥήμασιν οὐ στόμασιν.
ἀλλ' ἔθανες φθισικός. τάχ' ἐρεῖ τις ἴσως τί δὲ τοῦτο;
πάντως εἰς ἀΐδην δεῖ τινα ὁδηγὸν ἔχειν.

Τῷ Διογένει. ἀποκλεισθέντος τοῦ πνεύματος θανόντι. μελιαμβοὶ κερκίδα.

οὐ μὰν ὁ πάρος γ' ἐὰ σινωπεὺς τῆνος
ὁ βακτροφόρος, διπλοείματος, αἰθριβόσκας,
ἀλλ' ἀνέβα χεῖλος ποτ' ὀδόντας ἐρείσας
καὶ τὸ πνεῦμα συνδακών. ἦν γὰρ ἀλαθέως

Διογένης ζανὸς γόνος οὐράνιός τε κύων.

Τοῦ αὐτοῦ προκελευσματικόν. λαερτίου.

Διόγενες ἄγε λέγε τίς ἔλαβέ σε μόρος
εἰς ἀΐδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

Τῷ μενίππῳ.

φοίνικα τὸ γένος, ἀλλὰ κρητικὸν κύνα,
ἡμεροδανειστήν, τοῦτο γὰρ ἐπεκλήζετο
οἶσθα μένιππον ἄρα.
θήβησιν οὗτος ὡς διωρύχθη ποτὲ
καὶ πάντ' ἀπέβαλεν, ὡς δ' ᾔδει φύσιν κυνὸς
αὑτὸν ἀνεκρέμασεν.

Ζήνωνι τῷ κιτιεῖ. ἀντίπατρος.

οὗτος ὁ δὲ Ζήνων κιτίῳ φίλος, ὅσποτ' ὄλυμπον
ἔδραμεν οὐκ ὄσσῃ πήλιον ἀνθέμενος
οὐδὲ τά γ' Ηρακλῆος ἄεθλια. τὴν δὲ ποτ' ἄστρα
ἀτραπιτὸν μούνας εὗρε σαοφροσύνας.

Τοῦ αὐτοῦ. λαερτίου.

τὸν κιτιᾶ Ζήνωνα θανεῖν λόγος, ὡς ὑπὸ γήρως
πολλὰ καμὼν ἐλύθη, οἱ δὲ μένων ἄσιτος,
οἱ δ' ὅτι προσκόψας ποτ' ἔφη χερὶ γαῖαν ἀλοίσας
ἔρχομαι αὐτομάτως δὴ τί με τί με καλεῖς.

Τῷ κλεάνθει. λαερτίου.

αἰνῶ Κλεάνθην ἀλλὰ μᾶλλον ἀΐδην.
ἰδὼν γὰρ αὐτὸν πρέσβυν οὐκ ἠνέσχετο
μὴ οὐ τὸ λοιπὸν ἄνεσιν ἐν φθιτοῖς ἔχειν
τοσοῦτον ἀντλήσαντα τοῦ βίου χρόνον.

Τῷ χρυσίππῳ. λαερτίου.

ἰλιγγίασε βακχὸν ἐκπιὼν χαυσὸν,
Χρύσιππος. οὐδ' ἐφείσατ' οὐδὲ τῆς στοᾶς
οὐδ' ἧς πάτρης οὐδ' ἧς ψυχῆς,
ἀλλ' ἦλθε δῶμ' εἰς ἀΐδεω.

Τῷ ἀρίστωνι ὑπὸ καύματος φθαρέντι
χωλιαμβικὸν. λαερτίου.

τί δὴ γέρων ὢν καὶ φίλανθος Ἀρίστων
τὸ βρέγμα δοκᾶς ἡλίῳ κατοπτῆσαι.
τοιγὰρ τὸ θερμὸν πλεῖον ἢ δέον ζητῶν
τὸ ψυχρὸν ὄντως εὗρεν οὐ θέλων ἅδην.

Ἡρακλείτῳ τῷ ποιητῇ. καλλιμάχου.

εἶπέ τις ἡράκλειτε τεὸν μόρον, ἐς δέ με δάκρυ
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατελύσαμεν, ἀλλὰ σὺ μέν που
ξεῖν' ἁλικαρνασσεῦ τέφρα πάλαι σποδίη,
ἀλλὰ καὶ ζώουσιν ἀηδόνες ἧσιν ὁ πάντων
ἁρπακτὴς ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

Τῷ ἀναξάρχῳ πληγαῖς ἀναιρεθέντι ὑπὸ νικοκρέοντος τοῦ κυπρίου. λαερτίου.

† πτύσσετε μᾶλλον ἔτι καὶ μᾶλλον, θυλακός ἐστι
† πτύσσετ' ἀνάξαρχος δ' ἐν διὸς ἐστι πάλαι.
καί σε διαστεῖλαι ὀλίγον.

Τῷ ἐπικούρῳ. λαερτίου.

χαίρετε καὶ μεμνῆσθε τὰ δόγματα. τοῦτ' ἐπίκουρος
ὕστατον εἶπε φίλοις οἷσιν ἀποφθίμενος·
θερμὴν ὃς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρατον
ἔσπασεν, εἶτ' ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

Πρεάπ

Ὀρσίππῳ τῷ μεγαρεῖ.

ὀρσίππῳ μεγαρεῖς μεγαλόφρονι τῷ δ' ἀείδηλον
μνῆμα θέσαν φάμα δελφίδι πειθόμενοι.
πρῶτος δ' ἑλλήνων ἐν ὀλυμπίᾳ ἐστεφανώθη
γυμνὸς, ζωννυμένων τῶν πρὶν ἐπὶ σταδίῳ.

Τοῖς ἐν τῇ κατὰ χαιρώνειαν μάχῃ πεσοῦσιν ἀθηναίοις.

οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα. καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν
μαρνάμενοι δ' ἀρετῆς καὶ δείματος, οὐκ ἐσάωσαν
ψυχὰς, ἀλλ' ἀΐδην κοινόν. ἔθεντο βραβῆ.
οὕνεκεν ἑλλήνων ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνας στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν,
γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων,
σώματ' ἐπεὶ θνητοῖς ἐκ διὸς ἥδε κρίσις.
μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν,
ἐν βιοτῇ μοῖραν δ' οὔτι φυγεῖν ἔπορε.

Φυταλῷ τῷ ἥρωϊ ἐν τῇ ἀττικῇ.

ἐνθάδ' ἄναξ ἥρως φυταλός ποτε δέξατο σεμνὴν
δημήτραν ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνε
ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει
ἐξ οὗ δὴ τιμὰς φυτάλου γένος ἔσχεν ἀγήρως.

Τοῖς θεσσαλοῖς πεσοῦσιν ἐν μάχῃ ἡγουμένου φιλίππου. ἀλκαίου.

ἄκλαυστοι καὶ ἄθαπτοι ὁδοιπόρε τῷδ' ἐπὶ τύμβῳ
θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες
αἰτωλῶν δμηθέντες ὑπ' ἄρεος ἠδὲ λατίνων

οὓς τί-

οὓς τίτος εὐρείης ἤγαγ' ἀπ' ἰταλίης,
ἠμαθίῃ μέγα πῆμα. τὸ δὲ θρασὺ κεῖνο φιλίππου
πνεῦμα θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

Ἐπὶ τούτοις ἀντικωμῳδῶν ὁ φλαμίνιος τὸν ἀλκαῖον προσέβαλε τῷ ἐλεγείῳ τούτῳ.

ἄφλοιος καὶ ἄφυλλος ὁδοιπόρε τῷδ' ἐπὶ νώτῳ
ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

Τοῖς ἐν σικελίᾳ ἀποθανοῦσι μετὰ νικίου. εὐριπίδου.

οἱ δὲ συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις

Τῷ κάτωνι δυσμενῶς ἔχον.

πύῤῥον πανδακέτην γλαυκόμματον, οὐδὲ θανόντα
πόρκιον εἰς ἀΐδην περσεφόνη δέχεται.

Τίμωνι τῷ μισανθρώπῳ.

ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
τοὔνομα δ' οὐ πεύσεσθε· κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Τῷ αὐτῷ καλλιμάχου.

τίμων μισάνθρωπος ἐνοικέω, ἀλλὰ πάρελθε
οἰμώζειν εἴπας πολλά, πάρελθε μόνον.

Τῷ ὀρφεῖ.

† μουσάων πρόπολον τῇδ' ὀρφέα θρῆκες ἔθηκαν
ὃν κτάνεν ὑψιμέδων ζεὺς ψολόεντι βέλει
οἰάγρου φίλον υἱόν ὃς ἡρακλῆ ἐδίδαξεν
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

† ἀλ. θρήϊκα χρυσολύρην

Τῷ μεγιστίᾳ μάντει τῷ ἀμφὶ λεωνίδαν.

μνῆμα τόδε κλεινοῖο μεγιστία, ὅν ποτε μῆδοι

σπερ-

σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι
μάντιος, ὅπποτε κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη σπάρτης ἡγεμόνας προλιπεῖν.

Τῷ κύρῳ τῷ τοῖς πέρσαις ἀρχὴν κτήσαντι.

ἐνθάδ' ἐγὼ κεῖμαι Κῦρος βασιλεὺς βασιλείων

Τῷ χείλωνι ὑπὸ χαρᾶς θανόντι, ὀλύμπια νική-
σαντος υἱοῦ αὐτοῦ. λαερτίου.

φωσφόρε σοὶ Πολύδευκες ἔχω χάριν, οὕνεκεν υἱὸς
Χείλωνος πυγμῇ χλωρὸν ἔλεν κότινον
εἰ δ' ὁ πατὴρ στεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡσθεὶς
οὐ νεμεσητὸν, ἐμοὶ τοῖος ἴτω θάνατος

Τῷ μίδᾳ. ὁμήρου ἢ μᾶλλον κλεοβούλου.

χαλκῆ παρθένος εἰμὶ Μίδου δ' ἐπὶ σήματι κεῖμαι
ἔς τ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοὶ ῥείωσιν ἀνακλύζῃ τε θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
ἀγγελέω παριοῦσι Μίδας ὅτι τῇδε τέθαπται

Τῷ ἀναξαγόρᾳ.

ἐνθάδε πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου κεῖται Ἀναξαγόρας.

Εἰς τὸν αὐτὸν λαερτίου.

ἠέλιον πυρόεντα μύδρον ποτὲ ἔσφακεν ὑπάρχειν
καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας
ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον, ὁ δ' αὐτὸν
ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης.

Εἰς τὸν Σπεύσιππον. τοῦ αὐτοῦ.

ἀλλ' εἰ μὴ

ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμάνθανον ὧδε θανεῖσθαι
οὐκ ἂν ἔπεισέ με τὶς τόδε λέξαι,
ὡς ἦν οὐχὶ Πλάτωνος πρὸς αἵματος, οὐ γὰρ ἀθυμῶν
κάτθανεν ἂν διά τι σφόδρα μικρόν.

Εἰς Βίωνα τὸν φιλόσοφον, ἄθεον μὲν πρὶν, ὕστερον δὲ τῆς τελευτῆς δεισιδαίμονα γενόμενον Λαερτίου.

Βίωνα τὸν Βορυσθενίτην ἔφυσεν ἡ Σκυθὶς γαῖ' ὃν
λέγειν ἀκούομεν θεοὺς ὡς οὐδέν εἰσιν ὄντως
καὶ εἰ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμιμνεν, ἦν ἂν εἰκὸς
λέγειν, φρονεῖν ὅπως † δοκεῖν, κακῶς μὲν, ἀλλ' ἔδοξε. † τὰ δό[illegible]
νῦν δ' οὖν νόσον πεσὼν μακρὰν καὶ μὴ θάνῃ δεδοικὼς
ὁ μὴ θεοὺς εἶναι λέγων ὁ νηὸν οὐδὲ βλέψας
ὁ πολλὰ χλευάσας βροτοὺς οἳ τοῖς θεοῖς ἔθυον
οὐ μοῦνον ἐσχάρης ὕπερ βωμῶν τε καὶ τραπέζης
κνίσῃ, λίπει, θυήμασιν θεῶν ἔδαισε ῥῖνας
οὐδ' εἶπε μοῦνον, ἤλιτον, σύγγνωτε τῶν πρὶν, ἀλλὰ
καὶ γραῒ δῶκεν εὐμαρῶς τράχηλον εἰς ἐπῳδὴν
καὶ σκυτίσι βραχίονας πεπεισμένος ἔδησε
ῥάμνον τε καὶ κλάδον δάφνης ὑπὲρ θύρην ἔθηκε
ἅπαντα μᾶλλον ἢ θανεῖν ἕτοιμος ὢν ὑπουργεῖν
μωρὸς δ', ὃς ἤθελέ τινος μισθοῦ τὸ θεῖον εἶναι
ὡς τῶν θεῶν ὄντων ὅταν Βίων θέλῃ νομίζειν
τοιγὰρ μάτην φρονῶν ὅτ' ἦν ἅπας ὁ λέμβος ἄνθραξ
τὴν χεῖρα τείνας ὧδέ πως, χαῖρ' εἶπε χαῖρε Πλούτων.

Εἰς Στράτωνα τὸν περιπατητικὸν οὕτω λεπτὸν γενόμενον ὡς ἀναισθήτως τελευτῆσαι.

λεπτὸς

Λεπτὸς ἀνὴρ δέμας ἦν, εἰ μὴ προσεχρήσατο χρισμοῖς
  Στράτωνα τοῦτον φημὶ Λαμψακηνόν
Λάμψακος ὅν ποτ᾽ ἔφυσεν· ἀεὶ δὲ νόσοισι παλαίων
  θνήσκει λαθὼν οὐδ᾽ ᾔσθετο θανάτοιο.

Ἐπὶ σήματος Εὐχίδα τοῦ Πλαταιέως.

Εὐχίδας Πυθῶδε θρέξας ἦλθε τᾷδ᾽ αὐθήμερον

Ἐπὶ κυνὸς Λυκάδος σήματι.

ἧς αὖ καὶ φθιμένα λευκοστέα τῷ ἐνὶ τύμβῳ
  ἴσκω ἔτι τρομέειν θῆρας ἄγρωσσα Λυκάς
τὰν δ᾽ ἀρετὰν οἶδεν μέγα Πήλιον, ἅ τ᾽ ἀείδηλος
  Ὄσσα, Κιθαιρῶνός τ᾽ οἰονόμοι σκοπελοί.

Ἐπ᾽ ἄλλης Λοκρίδος.

Ὤλεο δή ποτε καὶ σὺ πολυῤῥίζον παρὰ θάμνον
  Λοκρὶ φιλοφθόγγων ὠκυτάτη σκυλάκων
τοῖον ἐλαφρίζοντι τεῷ ἐγκατίθετο κώλῳ
  ἰὸν ἀμείλικτον ποικιλόδειρος ἔχις.

Ἐπὶ σήματος Βρουθαλίωνος τοῦ Ἱππομέδοντος
ὡς ἔνιοι ἀφείδαντος Ἀρκάδος.

ἔνθα δ᾽ Βρουθαλίωνα φίλοι τ᾽ ὧδε τύμβον ἔθηκαν
Ἀρκαδίης βασιλεῖς γένος ἔξοχον Ἱππομέδοντος
οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο.

Εἰς Θεοδέκτην τὸν Φασηλίτην.

ἥδε χθὼν κόλποισι Φασηλίτην Θεοδέκτην
  κρύπτει ὃν αὔξησαν Μοῦσαι Ὀλυμπιάδες
ἐν δ᾽ ὄγε τῶν δ᾽ ἱεραῖς πᾶσιν τρισκίδεκ᾽ ἁμίλλαις
  ὀκτὼ ἀκηράτους ἀμφέθετο στεφάνους.

.Εἰς Εὔδοξον Κνίδιον ἀστρολόγον Λαερτίου.

ἐν μέμ-

ἐν μέμφει λόγος ἐστὶ προμαθεῖν τὴν ἰδίην
Εὔδοξόν ποτε μοῖραν παρὰ τοῦ καλλικέρω
ταύρου, κοὐδὲν ἔλεξε· βοῒ γὰρ πόθεν λόγος;
φύσις οὐ δῶκε λάλον μόσχῳ Ἄπιδι στόμα,
παρὰ δ' αὐτὸν λέχριος στὰς ἐλιχμήσατο στολὴν,
προφανῶς τοῦτο διδάσκων, ἀποδύσῃ βιοτὴν
ὅσον οὔπω, διὸ καί οἱ ταχέως ἦλθε μόρος
δεκάκις πέντε, ἐπὶ τρεῖς ἐπιδόντι πλειάδας.

# ΝΕΩΤΕΡΙΚΑ

## ΠΟΛΙΤΙΑΝΟΥ.

Οἰνόν μοι πέμπεις τοῦδ' ἔσθ' ἅλις, εἰ δέ
τι μᾶλλον
λῇς γε χαρίζεσθαι πέμφ' ἅμα δίψαν
ἐμοί.

Εἰς θεόδωρον τὸν γαζᾶν.

κεῖτο μέγας ποτ' ἀγὼν γαζῇ θεοδώροιο ἀμφὶ
μούσαις τ' αὐσονίαις ἠδ' ἑλληνιάσι.
ταῖς μὲν γὰρ γενεὴν ταῖς δ' αὖ θρεπτήρι' ὀφείλεν
ἑλλὰς γὰρ τέκε τόνγ' αὐσονίη δ' ἐτρόφεν.
ἶσον δ' ἀμφοτέρων σοφίῃ γλώττῃ τ' ἐκέκαστο
τὸν δ' οὔτ' αὐτὸς ζῶν οὔτ' ἄρ' ἐκεῖνε θανὼν
ἀλλὰ ἐν ἰταλίας μεγάλῃ τῇ ἑλλάδι κεῖσθαι
εἵλετο, ὄφρα κλέος ξυνὸν ᾖ ἀμφοτέρης.

Εἰς τὸν αὐτόν.

τοῦτο τὸ καλλιόπης ἱερὸν στόμα ἠνίδε σιγᾷ
    τὸ κλέος ἑλλήνων φεῦ πόκα, νῦν δὲ γόος
ἀδυεπὴς θεόδωρος, ὃς ἐν κραδίῃ ἔχε πάντα
    τοὔνεκα καὶ πάντων κεῖται ἐνὶ κραδίῃ
τοῦδε καὶ ἐν στόματι πρίν γ' ἔμφρονα πάντα διαῦθε
    ἔμφροσι νῦν κηὐτὸς πᾶσι διὰ στόματος
ἀλλὰ τίνα κραδίην, τί φάμην στόμα; τοῦ δὲ θανόντος
    πᾶν στόμα φεῦ βύεται, πᾶσ' ἀχρεῖ. κραδίη

Εἰς Βαρῖνον τὸν καμηρτέα.

ἑλλάδι τοῖς ἰδίοις πεπλανημένῃ ἐν λαβυρίνθοις
    οὐ μίτον ἀλλὰ βίβλον προὔθετο δαιδαλέην
οὐχ ἕλλην, ἰταλὸς δὲ Βαρῖνος, κοὔτι γε θαῦμα·
    εἴγε νέοι τὴν γραῦν ἀντιπελαργεόμεν.

Εἰς ὄργανον μουσικόν.

χαλκείων δονάκων ὁρόω στίχον, ἀλλὰ τις αὐτῶν
    τεχνᾶται κρύβδην τὸν πολύθροον κέλαδον
οὗτος ὁ τοῖς πλακτῆρσιν εὔτροχα δάκτυλα παλμοῖς
    δινεύων ῥομβὰς τ' ἀμφιβοῶν σελίδας.
ἀλλὰ πολυανδρέων πόθεν οἱ τόσος θυμὸς ἀήτων;
    οὐχ ἀθρεῖς ἀσκοὺς διχθαδίους ὄπιθεν.

Πρὸς πῖκον περὶ τῶν ἀστρολόγων.

καὶ τοῦτ' ἀστρολόγοις ἐπιμέμφομαι ἠδολέσχαις
    ὅττι φίλους πίκου μοὶ φθονέουσ' ὀάρους.
καὶ γὰρ ὁ ἐνδυκέως τούτων τὸν λῆρον ἐλέγχων
    μουνάζει ἐν ἀγροῖς δηρὸν ἑκὰς πόλεως.
πῖκε τί σοι καὶ τούτοις; οὐδ' ἐπέοικεν ἀγύρτας
    αὐτάρκη τὴν σὴν ἐντυχέα γραφίδα.

Γερμανοῦ βρυξίου τοῦ κελτοῦ εἰς βίβλον
παροιμιῶν ἐράσμου.

Ταῦτα παροιμιέων. ἅμα συλλεχθέντα γε πασῶν
ἄνθεα σὺν μούσαις φοῖβος ἰδὼν ἔλεγε·
εἴποτε τὶς πασῶν αὐτὴ δὴ βίβλος ἐράσμου
μῶμε καὶ ἐκφεύγει τὴν σὴν ἐπεσβολίην.

Τοῦ αὐτοῦ.

Χερσὶν ἐν ἀονίδων ταύτην ποτὲ βίβλον ἰδοῦσα
παλλὰς ἔφη, μερόπων οἷα πόνος δύναται;

Εἰς σοφοκλέα λασκάρεως.

Πολλ' ἐκ τεῶν σελίδων εἴποιμι καὶ ἠὲ σοφίλου
δόγματα ἐν πινυτᾶς πολλ' ἀκρὰ μαρτυρίης.
ὅσσα μεθαρμόσσαο τραγικῆς περὶ κόσμον ἀοιδῆς,
ὡς μόρος, εἶδος ἅπαν, πᾶν πάθος ἠυτρέπισας
κάλλευς, εὐνομίης, ὕψους τέλος ἐξεπόνησας.
ζῆλον ὁμηρείης γνήσιον εὐεπίης
ὥστε δίων, ξενοφῶν, σκώπτης σῶν τ' ἤνεσ' ἑταίρων,
ἀρχέτυπον τραγικοῖς θῆκεν ἀριστοτέλης,
σόν τε κάθορνον ἄεισεν ὅκ' εἰς ἑὸν ἡγεμονῆα
ἀγνώμων ὄκνου ἔκγονος ἀονίου.
ἀργεάδης βασιλεὺς μετάπεμπτον σύμμαχον ἐξ ἐν
ἶσά τε μαιονίδου τέρπετο σοῖς ὀάροις
πολλὰ τεῶν ἀρετῶν σεμνώματα. ἓν δὲ μέγιστον
κρέσσονας ἀμορίους ἔπλασας ἠὲ φύσις.
λῆμά τε γενναῖον ἄλλοις πόρες, οὓς ὑποφήταις
ὧν βάττος, οἷα πάρος θέλγε διδασκαλίη.

# ΙΑΚΟΒΟΥ ΤΟΥ ΜΙΚΥΛΛΟΥ ΑΡΓΕΝΤΟ-ρατέως. ἐπιτάφια.

## ΙΑΝΩ ΓΑΧΝΟΛΙΘΩ.

Οὗτος Ἰανὸν ἔχει τάφος, ὃν προϊόντα
πρὸς ἄγρην
κάββαλεν ἀγνώστῳ μοῖρ' ὀλόεσσα
βέλει.
Γαχνολίθων γένος ὄντα, φίλον δέ τε ἔξοχα μούσαις
ἀλλ' ἀπάμυνε θεῶν λοιγὸν οἱ οὐδεμία.

Βειπόρτῳ τῷ Βαϊσῷ.

Βειπόρτος κεῖται τύμβῳ ἐνὶ τῷδε Βαϊσὸς
ἀμφοῖν εὐγενέων υἱὸς ἐὼν τοκέων
ὃς πολλοῖς τε χαριζόμενος καλὰ πόλλ' ἐτέλεσε,
καὶ ῥέξας μεγάλῳ ἱερὰ πιστὰ θεῷ.
πέντ' ἔτεα τριάκοντα τ' ἀναπλήσας βίον ἔχων,
ὅππoθ' ἑοῖ ψυχὴν λῦσε θανόντι μόρος.
ὡς ὦ ξεῖνε βροτῶν ζωῆς βραχύτητα γινώσκων
ἡσυχίην νεκροῖς εὔχεο, σοὶ δὲ νόον.

Ἐνεικῷ ἀρσοβρίῳ.

πολλὰ βοηθήσας, καὶ χρήματα πολλὰ πορήσας
ὅσσ' ἦσαν γ' ἀγαθοὶ πατρίδων τε φίλοι,
ἀρσοβρίων γένος Ἐνεικὸς νῦν ἐνθάδε κεῖμαι
ἀνταπόδος ψυχὴν ὧν δόσαν οὐρανίοις.

Ἰωσήπφῳ τῷ καμβραείῳ.

ἐνθάδ'

ἔνθα δ' Ἰωσηπφὸν κατὰ Παιονὶς αἶα καλύπτει
τῶν Καμβραιαδῶν παῖδ' ἀπ' ἐόντα γένος
δύσμορον, ὃν θάνατος κώλυσ' ἐπὶ πατρίδ' ἱκέσθαι,
γαῖαν ἐπείπερ ὁρᾶν ἤθελεν ἀλλοτρίην.
ὤ που νῦν θρήνοισιν ἀδελφεὸς ἀμφ' ἀλήκτοις
καὶ δακρύοις σ' ὦ παῖ σπένδεται οἰχόμενον.
ἡμέτερος Ἰωαχεῖμος ἐνὶ πρώτιστα φίλοισι
ὀτρηρός τε θεῶν ἐννέα συνθεράπων.
ὦ φίλ' αὖ οὔγε θανόντα βιώσεις δάκρυα λείβων,
δάκρυε δ' εἰ γ' ὡς φὴς παῖς καλὸς οὗτος ἔην.

Ἰουστῷ Ἑλλήρῳ.

παῖς πατρὸς Ἑλλήρου ἦμην ἀγαθός τε φίλος τε
εἰσόκε μ' ἠέλιος εἰς ἄρ' Ἰουστὸν ἴδε.
νῦν δ' ἀπτεθνεότος ἐμὸν γῆ μὲν σῶμα κάλυπτε,
κοὐ γένος οὐδ' ἀπ' ἐμοὶ κάλλος ἔρυκε μόρον.

Ἀρνολδῷ Γλαπυργῆθεν.

τῷδε κατ' Ἀρνολδὸν τύμβῳ ἐνὶ γαῖα καλύπτει
ὅ μοι δυστήνου δύσμορον υἷα πατρός.
ὅσποτε βουλόμενος λοιμὸν καὶ κῆρ' ἀλεείνειν
ἄλλοθεν ἦκε φυγὼν ἐνθάδε δ' εὗρε μόρον.
ὡς θάνατον γὰρ οὐκ ἔστι πεφυγμένος οὐδενὶ θνητῶν
ἀλλ' ἔπετ' εἰς πάντας μοῖρ' ὀλόεσσα τόπους.

Τοῦ αὐτοῦ Μικύλλου. Μοῦσαι.

ἄλλα μὲν ἀνθρώπων τοῖς ἄλλοις πράγματ' ἀρέσκει,
πιερίδων δέ τ' ἐμοὶ δῶρα γένοιτο θεῶν.
μουσάων τέκνων Διὸς οὐρανὸν εὐρὺν ἐχουσῶν.
πάντα χρόνος φθείρει ταῖς δὲ μένουσιν ἀεί.

Γλαύξ.

Γλαὺξ μὲν ἐγὼ κότος ἀργάλεος παντὶ ἔθνει τῶν μυῶν
θυμὸν ἀνίκητον στήθεος ἐν τοῖς ἔχω.
ὁππότε τοῖς ἄλλοις γλυκερὸς περιβάλλεται ὕπνος
ἡμετέρης ἄγρης δῶρα μέγιστα φέρω.

Ποιηταί.

Θεῖοι ποιηταί, γένος ἀοιδῶν ἰδράων
κλείομεν ἀνθρώπων ἠδὲ θεῶν ἀρετάς

Εἰς γεώργιον φίλτακον.

χαῖρε μέγ' ἡμετέρας φιλίας φίλε γεώργιε κῦδος
καὶ μοὶ θαλπωρὴ μειλίχιόν τε φάος.
σεῖο γ' ἐπ' οὐκ ἂν ἔγωγε λαθέσθαι μήτε δυναίμην
εἰ καὶ τῆς λήθης ὕδατα πάντα πίω.

Εἰς τὸν τοῦ χιλιανοῦ γάμον

παρθένον οὐειδῆς ἀπαλὴν χιλιανὸς ἔγημε
δεῦτε φίλαι μοῦσαι, δεῦτε φίλαι χάριτες.
ᾄδετε δ' ὅττι ποτ' ἐν θέτιδος καὶ πηλέος ἄσμα
ἄσασαι γλυκεροῖς ἦρα φορεῖτε γάμοις.
ὡς ὁ μὲν ὑμμετέρους αἰὲν τιμήσατ' ἀοιδούς.
καὶ χεῖρας μελέων οὔποτ' ἀπεῖχε καλῶν

Εἰς τὴν σοφίαν.

πάντα χρόνος φθίνει μακρὸς
μηδ' ἐμπεδὸν μηδὲν ἐᾷ,
οὐ πλοῦτον οὐδὲ χρήματα
οὐ κάλλος οὐδέ τοι κράτος
οὐδ' ὄπισω κόσμος τρέφει.
πᾶν γενόμενον φθείρει χρόνος,

μόνη

μούνη δὲ πάντων ἄφθιτος
σοφίη μένει καὶ ἀβλαβής
οὔτ᾽ ὄμβρος οὔτε κύματα,
οὔτε φοβερὸν διὸς βέλος
ἀχλεῖν δύναιτο πώποτε
σοφίας ἀνίκητον σθένος.

ΙΟΑΧΕΙΜΟΥ ΤΟΥ ΚΑΜΕ-
ραρίου, ἑπτὰ σοφοί. Σόλων.

Ἐλπὶς ἢ σὺ τύχη μὴ χαίρετ᾽ ἔχει μὲν ἅπαντα
εὖ νῦν ἀλλὰ τὸ δ᾽ αὖ μέλλον ἀεὶ σφαλερόν.
ἔπι σόλων τέλος ὀτρυνὴ μακροῦ βιότοιο
εἰσορᾶαν, ἐμὲ δ᾽ οὖν λείπετ᾽ ἐπὴν θανέω.

Χείλων.

εἴτ᾽ ἄρ χείλων φάσχ᾽ ὁ δ᾽ ὢν λακεδαίμονος, εἴτε
δελφικὲ τῶν ἀρ λάκες, γνῶθι σεαυτὸν, ἄναξ
χρυσοῦν ἐς ἔπος. ἢ γὰρ μὴ γνοὺς αὐτὸς ἑαυτὸν
ἢ ξύλον, ἄργαγ᾽ ἔην ἄλλο τε ἠὲ λίθος;

Κλεόβουλος.

καὶ βραδύπους βουλὴ χείρων ἐστ᾽ ὅτε ταχείης
τοῖς δὲ ταχυνθεῖσιν ἢ μετάνοι᾽ ἕπεται.
οὕτω δή. κλεόβουλε μέτρον γ᾽ εὖ εἶπας ἄριστον,
τοῦ γὰρ ἄνευ τὸ τάχ᾽ ἢ δ᾽ αὖ τὸ βράδ᾽ ἀφροσύνη.

Περίανδρος.

Ἡ ὀργῆς κρατέειν βασιλοῦ περίανδρε κελεύεις,
ὡς δὲ οἱ ἄλλοι, ἔφης, ὅτι τὸ πᾶν μελέτη
ἀμφότερ᾽ οὖν ἐδιδάχθης αὐτὸς ἐγὼ ἂν ἀπὸ σαυτοῦ,
τοῦ τα μελιοσεῖης ἐκ θανάτοιο μαθών.

Πιττακός.

Πιττακός.

χαίρετ' ἄγαν σοφοὶ ἄνδρες ἰδ' ἄφρονες, οὐ γὰρ ἔγωγε
σφόδρ' ἐθέλοιμι φρονεῖν οὐδὲ γενέσθαι ἄνους.
ἀλλὰ μέσον τί ποτ' ἐστὶ τὸ δὴ στέργω. μιτυλήνης
ἔκγον' ἐπεὶ προτρέπει πίττακε, μηδὲν ἄγαν.

Βίας.

πρὸς τί δ' ἄρ', εἶπε Βίας, ἐς ὠφέλιμον τὸ δὲ γνῶναι
οἱ πλέονες κατὰ γῆν ὅτι ἐγένοντο κακοί
ὡς μὴ καὶ σύ γε τῶν πλεύνων πῶς ξεῖνε γένοιο
πάντ' ἀπὸ τῶν πλεύνων αἰὲν ὄπισθεν ἔχοις.

Θαλῆς.

αὐθόρουνικτὶ νόος ποτὲ καὶ θνητῶν λόγον ἔχειν,
εἰς ἐπεὶ ἀστροδρακῶν τάφρον ἔπεσε Θαλῆς.
ἐκ τότ' ἄρ' ἐγνώκαν ἄτη σύμπλεκτον ἔδειξε,
ὦ σόφ' ἐν οὐρανίοις πράγμασι καὶ χθονίοις.

Εἰς θάνατον.

σχέτλιε δυσήνοις πᾶσιν θάνατ' ἐχθρὲ βροτοῖσι
τίς σ' ἄρα γ' ἐκ θνητῶν πανδάματος προφύγοι;
σοὶ μὲν γὰρ τις ἀπέλευθρος ἰδ' αὖ κράτος ἐστὶ μέγιστον,
οὓς ἐθέλῃς μάρψας εἰς ἀΐδαο βάλοις
οὐ σ' ἀπὸ μὲν πτερόεσσα δι' ἀέρος ὄρνις ἀλύξαι
οὐδὲ δύναιντο βαθὺς ἰχθύες ἐν τοῖς ἁλός.
οὐ δὲ κατὰ γῆς δεδιὰς μένος ὠμοφάγοιο λέοντος
οὐ τίγρις στιβαροῖς ἐκ σ' ἀλέεινε ποσί
καί συ κατ' ἀνθρώπων βοῦς κέρατα ἔνθα καὶ ἔνθα
ὀξύτατον πλείστοις ὄμμασι δερκόμενος
μηδέ τις ἐν θαλάμου μυχῷ εὐπήκτοιο λάβοι κεν

σὸν βλέ

σὸν βλέπος, οἰκίσκῳ οὐχ ἐκαθειρξάμενος,
δεῖν ὀλετὴρ μερόπων χαλκυπνε βιόφθορε δαῖμον
πᾶσι λυγρὸν ζωῆς γηγενέεσι τέλος.
χαῖρέ μοι ὠμηστὰ καὶ ἐν ἀΐδαο δόμοισι·
μηδὲ πρὸ τοῦ γήρως μου βιότοι θίγης.

Ἐκ τοῦ ἐναντίου εἰς τὸν αὐτόν.

ὦ θάνατ' ἀνδράσι πᾶσι τέλος βέλτιστε μεριμνῶν
πᾶς ἄρα σε θνητῶν ἄθλιος ὢν καλέει
καὶ σύ γ' ἔχεις σθένος ἠδὲ βίῳ μεγάλῳ ἀπέλευθρον
ὃς ἐθέλοις χειρῶν ἐξερύσαιο τύχης
καὶ τῇ γῇ καταθεὶς ἐν ἀσφαλεῖ, ἔκ τε τυράννων
σώσαις ἔκ τ' ἄλλων δαῖμον ἄριστε πόνων
οὐ βίον αὖ ποτιπτεύσου σ' ὄρνις ἅπαξ ἔτ' οὐ ἄλλον
κυρτὸν πίπτει ὀλοῆς μάστακος ἱεμένη.
οὐδ' ἰχθὺς σοῦ γευσάμενος κατ' ἔτ' αὖθι πίοιτο
ἄγκιστρον σφαλερῶς ἐνδελεαζόμενον.
καὶ σὺ μόχθων ἀπέλυσας ἀπ' ἄγρης ζῶντα λέοντα
καὶ παύσας μακροῦ τίγριδα δῆτα δρόμου.
Τοὶ σὺ κατ' ἀνθρώπων κρατ' ἔνθα καὶ ἔνθα βαδίζων
παπταίνεις εἴπου σοῦ χατέωσι βροτοὶ
οὐδέ σε φεύγουσιν χαλεπαίνεις, αὐτὰρ ἅπαντας
ὅππου ἄρ ὦ σ' ὀρέγεις εὖ καταπαυομένους
μοῦν' ὀλετὴρ καμάτων μάγχυπνε πονοφθόρε δαῖμον
πᾶσι κακῶν οὐκ τὴν δυστυχέεσι τέλες
χαῖρε μάλ' ὅππου ἄρ ἐστὶ ἐν ἀέρι ἢ ὑπὸ γαίης
καί μ' εὖ κοιμήσῃς ὅτε μ' ἵκοιτο τέλος.

Τῷ πόνῳ. ξένος καὶ πόνος.

τὶς δὲ σὺ ἐσσὶ φορὶς ἐπ᾽ ἀκάνθαις ὧδε βεβηκὼς
αὐχμηραῖς κεφαλὴν θριξὶν ἀηθισιάσας,
ταῖς στιβαραῖς νωμῶν μακέλλην χείρεσι κεκμηκὼς
δεινὸν ἰδεῖν ῥάκεσιν σῶμ᾽ ἐντυλλόμενος;
πόνος. ξεῖνε τί μ᾽ εἰρωτᾷς; μοχθεῖν μ᾽ ὦ δ᾽ ὄξιν ἀνάγκη
ξέν. τοὔνομ᾽ ὅμως γε λέγοις. πό. τοὔνομα μοῦ ᾽στὶ πόνος.
ξε. ὦ πόν᾽ ἀϊστωτὴρ γυίων μένεος τ᾽ ἀφανιστὴρ
ἆρά συ λυσιμελὴς εἶ μερόπεσσι πόνος;
πό. οὗτος ἐκεῖνος ξεῖν᾽ ὃν ὁρᾷς. ξε. τίς δ᾽ ἔσσετ᾽ ὄπισθεν
πανδοδαπῶν ἀγαθῶν φορτί᾽ ἀειράμενος;
πό. ἑρμαίῳ ξεῖνε βλέπεις. ξε. τίδε δὴ θ᾽ ἀγαθοῖς πένε ἐπὶ σοῖς
πο. ἐσθλὰ ποθοῦντα, πόνον χρὴ ξένε πρόσθεν ἑλεῖν.

Τῇ ἐργατίδι παρὰ θεσπιεῦσι.

ἐνθάδε θεσπιέες τὴν ἐργατίδ᾽ ἱερὸν ἄγαλμα
ἔστησαν σφετέρης εἰδρείαν ἀλόχοις,
ἔστι δ᾽ ἀθηναίης μεγάλης θεοῦ, αὐτὰρ ἀπ᾽ αὐτοῦ
ἐργοφίλης δαίμων τὼ πόδε πλοῦτος ἔθη.

Εἰς ἄγαλμα ἄρεως πέδας ἔχον παρὰ
λακεδαιμονίοις.

νήπι᾽ ὀλοαῖς σειραῖς τάμα σκέλε᾽ ἠδὲ καὶ αὐτοὺς
σφίγξατε σπαρτιάται ἀμφοτέρωθε πόδας.
οὐ παρὰ τῶν εἶαν θ᾽ ἀγαθῶν. δραπετεύσομαι, οὐδὲ
δέσμ᾽ ἐμὲ δὴ χήσουσ᾽ ἄν ποτ᾽ ἔσεσθε κακοί.

Εἰς νίκης ἄπτερον. ἀθήνησι.

ἄπτερος ἐνθάδε νίκη ἀθηναίων ἀνάκειμαι
ὡς μὴ ἀποπταμένη τὴν δὲ πόλιν προλίπω
ἀλλ᾽ ὑμᾶς μ᾽ εὖ ἴσθ᾽ ἀρετῆς ἦν κτῆμ᾽ ἀπόλητε

πολλὴν

πεζῇ ὅμως τῆς δ' οὖν κτήτορας ἐρχομένην.

Εἰς τὰ ἡδονικά.

λυσιμελεῖ παφίη τε λυσιμελεῖ πολὺ ὕπνῳ
  λυσιμελεῖ βρωτῷ. λυσιμελεῖ τε ποτῷ,
ἕσπεθ' ὁμῶς καὶ λυσιμελῆ, τε λυσιμέλεια
  φύαρμος καὶ ποδάγρη τε τρόμος ἠδὲ φθίσις.
καὶ δεινὴ νόσεων ἐπιληψία, ἡ δ' ἀπόπληξις
  χ' ὡ ἐπὶ τοῖς πᾶσιν λυσιμελὴς θάνατος.

Εἰς ὕπνον.

ὕπνε φίλ' ἐλθὲ φίλ' ὕπνε θεῶν χαριέστατ' ἁπάντων
  νύκτα δι' ἐν βλεφάροις ἠρέμ' ἐφιζόμενος
ἐλθὲ φίλ' ὕπνε ἀπὸ πάντα λύων μελεδήματα θυμοῦ,
  χἠμετέρου πάνων ἐκ καμάτοιο μέλη.
ἀλλ' ἦμαν σε μάτην καλέω μὴ γευσάμενος χθὲς
  τοῦ βρομίου μεθύοντος νάματος ὑπνοφόρου;
ποιαφάγοι κεφητομανεῖς μάλα χαίρετ' Ἴβηρες
  οἴνου ἐπ' ἀνθρώπων ἄτη ἀπιχόμενοι
οὐκ ἐμοὶ δὲ βλάβης πάντων ἀτὰρ οἶνος ἀν' ἦμαρ
  ὁ δ' ἄμπαυμα πόνων εὐφρονὴ ὕπνον ἄγοι.

Εἰς τὴν παιδείαν. ξένος.

παιδεία.

ἄτλημον δακρύουσα μύσαι τόδον, ἐσσὶ δὲ δὴ τίς. ξε.
  τίς δέ σοι ἔστι πατήρ, τίς δέ σοι ἔστι πατρίς;
κεῖται γοῦν περὶ ποσσὶν κάλαμος τε βύβλιον, ἠδὲ
  ψέλλια τε στεφάνη, κόσμος, ἐγῶμ' ἀπὸ σοῦ.
ξεῖνε ταλαίπωρον παιδείαν τήνδ' ἐμὲ δέρκη, παιδ.
  τὴν κακοδαίμον' ὅλης γῆς ἐπιπλαζομένην.

ἐλλὰ δ

Ἑλλάδι τήν ποτ' ἐνὶ ζαθέῃ Ζεὺς σπεῖρε γάμοισι
  σπουδῆς ἐκ μεγάλης ἐσθλοτόκοιο θεᾶς,
Τερκῶν δ' ὅτε πάτρην ὅπλ' ἀρημανῆ ἐξαλάπαξεν
  εἰς δ' ἔτ' ἐγὼν Ἰταλοὺς ἦλθον ἰοῦσα φυγάς.
ὧν πρότερον πατέρας πιστοὺς πέμψασα ὁπαδοὺς
  παιδεύουσ' ἐσθλὸν πρὸς δ' ἐμ' ἦρα κλέος.
οἳ δέ με θαῦμ' ὅσσον περίειπον πρόφρονι θυμῷ,
  μητέρως ὡς παῖδες συμπεριϊχόμενοι.
  ἔνθεν ἐγὼ ξείνοισι ἐφεσπομένη Ἀλεμανοῖς,
  εἴσιδον ὀρκυνίῳ πλήσιον ἔθνος ὄρει.
ὧν ὕπ' ἐγὼ στερχθεῖσ' οὐχ ἥττονος ἔμμορα τιμῆς,
  οὔτ' ἐμ' ἐχ' Ἰταλίης Ἑλλάδος οὔτε πόθος.
τῶν κἀγὼ φίλα τέκνα περιπτύξασ' ἐδίδαξα
  τῆς θείης ἀρετῆς πάνθ' ὅσ' ὂν ἄκρον ἄγει
χὠς μὴ μακρὰ θρυλοῖμι φίλε ξένε, πάντα κατ' αὐτοῦ
  προὐχώρουν τὸν ῥοῦν ἅσσ' ἂν ἔπραττον ἐγώ.
καὶ τότε δὴ κακίας Βροτέης ἐγένοντο θύελλαι
  ἀπροϊδῆς, οἴμοι, ἧς ὕπ' ἀπολλύμεθα.
οὐδ' ἐμ' ἀλεξάμεναι ῥόφιμ' ἡμέτεροι γ' ἐδύναντο
  βουλόμενοι. βίῃ δ' εἶξαν ὑπαὶ κρατερῇ.
νῦν οὖν ἀθλί' ἐγὼ γυμνὴ κἄκοσμος ἐν αὐτῷ
  δυστυχίης κλαίω μοῦ μόρον αἰγιαλῷ
χὥδε στὰς μεγάλῃ τε βοῇ στονόεντι τ' ἰυγμῷ
  κηρύττω καὶ σφῶν ἢ δ' ἐμὰ πᾶσι κακά.
στὴν γάρ ἔμοιγ' ἀρετὴ κουροτρόφος οἴχεται, ἡ δὲ
  ἔνθ' ἀπόλωλ' αὐτοῦ ζῇ φθορόπαις κακίη.
    Εἰς ταφὴν δὲ ἀμνησίας νεκροῦ σώματος.

ἀλάζω

αἰάζω βροτέης φύσεως κακοδαίμονα μοῖραν,
ἥνπερ ἔτι ζώω, τῇ δὲ γὰρ οἰχόμεθα.

Εἰς τὸ αὐτό.

πῶς ἔτι δεξιτερὸς καὶ ἀριστερὸς ἐκ θανατωβέας
ἕστηκα βροτέης ἐνθάδε δεῖγμα φυῆς

Εἰς τὸ αὐτό.

ἓν μόρος ὧδε βίος θανάτου δ' ἕτερον μόρος ὄρφνη,
πᾶσι γὰρ ἔστι βροτοῖς ἄντα βίου θάνατος.

Εἰς τὸ αὐτό.

ζωγράφε δυστήνους μέροπας σὺ μάλιστα ἔδειξας
ὅστε ἅμα ζώειν ποιέων ἠδὲ θανεῖν.

Εἰς παυσανίαν τὸν κλεομβρότου ὥσπερ δὴ εἰκονισμένον ἐκ τῶν θουκυδίδου.

ὁππότε θνητὸν ἐγὼ μήδων στῆσε τρόπαιον
κλεομβροτίδης κοινὴ ἑλλὰς δ' ἐλευθερίη,
βωμοῦ ἐφ' ὧδε λιποψυχήσας κεῖθ' ὑπὸ λιμοῦ,
παυσανίας ἄλλοις, οὐδὲ τ' ἀτερσανίας.

Πρὸς ἀλααιόν.

εἴπ' ὦναξ πῶς πλουτήσαιμί τις εἴρετο φοῖβον,
ὃν ποτ' ἰὼν δελφῶν οὐδας Ἀλαν' ἱερόν.
τῷ δ' ἀπὸ δῖα τρίποδος ῥήξας χρυσηλάτου αὐδὴν
ἐκ θ' ἱερῶν ἀδύτων πύθι' ἔχρησε τάδε.
εἰ τὸ μέσον κτήσαιτο κορίνθου καὶ σικυῶνος,
τῆς δὲ σ' ἐγὼ δείξω ἰθυτέραν τιν' ὁδόν,
εἴγαρ τ' εἰς ἄφρονος ἀπολύδεις φύσεως μὴ ἔχων εὖ
μάνθαν' ἀριθμολογεῖν, κἂν μὴ ἑταῖρο τροφεῖν.

Εἰς ἕκτορα τὸν παρ' ὁμήρῳ νεκρόν.

οὐκ

οὐκ ὄφελες στυγερῷ ὑπ' ἀχιλλέως φθίσθαι ὀλέθρῳ
  ἕκτορ ἵν' ἰλιάδος μὴ τέλος ἦσθα θανών.

Εἰς τὸ αὐτό.

οὐκ ἄλλος ποτ' ἐπήλυθ' οὕτω θάνατος μέγ' ἄκαιρος
ἕκτορος ὡς ὠδὴν θείαν ἐπισομίσας.

Εἰς τὸ αὐτό.

αἰάζω τὸν πριαμίδην ὅτ' ἀηδόνα μουσῶν
  ὦ ὀλέθρῳ θείου νεκρὸς ἔπαυσε μέλους.

Ἐρωτίου γάμος.

ἡ καλὴ ἡ κλέψασα ἀνδρῶν νόον ἐσθλὸν ὀπωπαῖς
  φωνῆς ἡ δύστροφον τῆσιν ἀηδονίσι
πίειρα, μεγάλη, παχίη, χοίρῳ ἀταλάντη,
  ἔξοχος ἐν πᾶσιν παρθενικοῖσι χόροις.
ἡ πρά τε ξείνοις ὀνομαστὴ καὶ πολιήταις
  ἥ τε ἔρως γλυκερὸν τοὔνομ' ὑπεκόρισε.
κυπρομανῶν τὸ θέαμα νέων, ἡ πάντας ἐφ' αὑτὴν
  ἕλκουσ' ἐκ γληνέων σειρὰν ἀφειμένην.
αὕτη οὖν, φεῦ αἰσχύνη, ἡμιβαρεῖ τ' ἐγαμήθη,
  τῷ τ' ἀπὸ παντοδαπῶν πλουσίῳ ὄντι δόλων
τῷ πλέον ἢ ὀγδοηκοντούτῃ, τῷ φιλοκερδεῖ
  τῷ τρώκτῃ καὶ τῷ χρυσοδακοντομανεῖ.
τῷ πολυπλόκῳ εἰσορᾶν ἐπὶ πᾶν τὸ μέτωπον
  τῶν ῥυτίδων μεστὰς κυανέῳ γένυας.
τῷ βρομερῷ κινάβραν τ' ὄζοντ' ἀπὸ χρωτὸς ἀμαυροῦ
  τῷ τραγικαῖς μορφὴν εἴκελα [illegible].
τῷ μύρμηκες ἅτε χρυσὸν φρουροῦνθ' ὑπὸ γαίης
  τῷ τε κυμναίων πρίστρι κεγχραμίδων.

τῷ

νῦν ψέγει οὖν ταύροιο γάμον τίς, ἱππομανείαν
τὴν μὲν πασιφάης, τὴν δὲ σεμιράμιδος;

Τῇ δυσεβείᾳ ἡμιθανεῖ ἐκ πολλῶν τραυμάτων.

ξένος. δυσέβεια.

οἴμοι τάλαινα, τίς σ' ἄρ' ὧδ' ἀείκισε, ξ.
τὴν δυσέβειαν τὴν ποτε μακαρείαν ὁρῶ;
φεῦ τοῦ λέοντος δῆγμα, καὶ ἀγροίκου λύκου
καὶ βονίδος ἕλκημ' αὖ τὸ δ' ἄρκτου ὦ μελέα.
οὐδεὶς δέ σ' δυσεβῶν βοήθησεν θεά;
τοῦ γῆς γὰρ εἰσὶν δυσεβεῖς φίλε ξένων δυσ.
οὐδὲν ἀγαθὸν γοῦν ἥδε γαῖα νῦν τρέφει; ξ.
παῦροι γ' ἔτ', ἀλλ' ὅμως ἐμοὶ κεκακωμένοι. δυσ.
σὺ δ' ἄγε πρὸς ἰατῆρας, πρὶν θανεῖν, κάλει. ξ.
ἤδη γὰρ ἆσθμα νείατον ψυχῆς πνέεις.
οὐκ ἔστιν ἐμὲ θέμις θεὰν γ' οὖσαν θανεῖν. δυσ.
ὅπως δέ τις παύσειε τῶν σε σῶν πόνων. ξ.
πολλῶν ἰατρῶν εἴσοδοι μ' ἀπώλεσαν. δυσ.

Ανθῶν δῶρον.

λευκῶν δῶρα κείνων σοὶ τοῦ δ' ἐκέλευσα κομίσσαι
κεῖθ' ἐμεῦ ἐκ κήπου παῖδ' ἀκροδρεψάμενον.
τὰ δ' ἐγὼ χαρίεσσα γυνὴ σοί γ' ἄνθιν' ἔπεμψα,
ἤνδε μίδας ἦμιν χρύσεα πάντ' ἔλαβον.
ἢ μὴν οὐδ' ἔτ' ἴσως τότ' ἔμ' ἄρ φίλον εἶχες ἑταῖρον,
οὐκέτ' ἂν οὐδὲ λαβεῖν χρύσεα ταῦτ' ἔθελον.

Εἰς ἀστρολόγους.

οὐρανὸν οὖν τις ὁρεῖν τολμᾷ μὴ ἔμμεν ἄπειρον;
τὸν νῦν εἰς δεκάτην σφαῖραν ἐπῆρε λόγος.

ὀκτὼ

ὀκτὼ δ' ἢ πρόσθ' ἦσαν ἰδ' ἐννέ' ἐπεί τ' ἐγένοντο
νῦν δὲ δέκ' ἀλλ' ἑξῆς οὐδ' ἐκ' ἔτ' ἐσσόμεναι.

Ἀστρολογικὰ διὰ ἰαμβῶν.

πλάνητες οἵδ' εἰσὶν κατ' οὐρανὸν ἀστέρες
κρόνος τε καὶ ζεύς, εἶτ' ἄρης εἶθ' ἥλιος
κύπρις τ' ἰδ' ἑρμῆς καὶ σεληναῖον φάος.
καὶ τὴν μὲν ἥλιος θερμαντικὴν ἔχει
ὡς δ' ἐξ ἴσου καὶ ξηροποιῆσαι φύσιν.
ἡ δ' αὖ σελήνη πλεῖστον ὑγραίνειν φιλεῖ.
ἀφ' ἡλίου δὲ καί τι θερμὸν λαμβάνει.
ψυχρὸς δὲ καὶ ξηρὸς μάλ' ἐσθ' ὁ τοῦ κρόνου.
ὁ ζεὺς δὲ θερμὸν ζωτικὸν μίγνυσ' ὑγρῷ.
ἄρης δὲ ἅπαντα βλαπτικῶς καυσοῖ πυρί.
ἡ δ' ἀφροδίτη πλησίον διὸς φύσει.
ἑρμῆς δὲ φοίβου καὶ σεληναίης μεσοῖ.
νῦν δ' αὖ γένη τῶν ἀστέρων ἤθη νόει.
ὅ θ' ἥλιος μὲν οὖσιν ἄῤῥεν καὶ κρόνος
καὶ ζεὺς ἄρης τε. θήλεες δὲ γ' αἱ δύω
κύπρις σελήνη τ' ἀρκὰς ἐπίκοινος δ' ἔφυ
καὶ οἱ μὲν εἰσὶ νυκτερινοὶ δὴ θή νες
τὸν δ' ἥλιόν φασ' ἡμερινὸν ἰδ' αὖ δία.
ὁ δ' ἔστι κἀνταῦθ' ἑρμέας κοινῶς ἔχων
ἐν δ' ἡμέρῃ χρόνος γ' ἐτάχθη τοῖς πάλαι
ἐν νυκτὶ ἄρης δ' ὡς κωλύεσθ' εἶναι κακούς.
οἱ δ' ἀπλανεῖς καλούμενοι δυοκαίδεκα
εἰς ζῴδι' ἱδρυθέντες ὧδε κεκλήαται.
κριός τε βοῦς τε σὺν τε κάστωρ τῷ κάσει.

τοῖς ἡ/

τοῖς ἦρος ὥρη προσέθεντο κυρίοις.
ὁ καρκίνος δὲ λέων τε παρθένος θ' ἅμα
θάλπους λελόγχασιν διοίκησιν θέρους
χηλαὶ δὲ σκορπιός τε σὺν τῷ τοξότῃ
μετοπωρινὸν δι' ἔτους ἐλαύνουσιν τρόχον
σὺν δ' αἰγόκερῳ ὑδροχόος ἀμφώ τ' ἰχθύες
χειμῶνα τ' ἀμφιέπουσι καὶ κρύους πάγη.

Οἱ πλανώμενοι.

οὐρανίαις σφαίρῃ σ' ἐναρηρότες ἑπτὰ πλάνητες
εἰσὶ κρόνος καὶ ζεὺς ἄρης τε καὶ ἠελίου φῶς
καὶ παφίη, καὶ ἑρμείης, λαμπάς τε σελήνης.

Ἄλλως κατ' αἰγυπτίους.

ἀστέρες ἑπτάδιον κατ' ὀλύμπου χίσμα πλανῶνται
ἑπτὰ, κρόνος, κρονίδης, ἄρης, σὺν τ' ἀγκάδι κύπρις
φοῖβος ἀκερσεκόμης τε καὶ ἑβδόμη ἄρτεμις ἁγνή.

Τὰ ζώδια.

δώδεκ' ὁδὸν ζῴδ' ἠελίου κατὰ πᾶσαν ἔχουσι
ἣν ὁ δι' ὅλου δι' ἔτους σίλβων ἀκτῖσιν ἴησι.
ἔνθα κελὸς ταῦρος τ' ἠδ' αὖ διδυμάον ἀδελφῶ-
νῶτα τε καρκίνος αἰθόμενος λίς τ' ἠυγένειος
παρθενική θ' ἁπαλαῖς στάχυν ἐν χείρεσσι φοροῦσα
καὶ ζυγὸς εἶμεν σκορπιάδες χηλ' αὐταὶ ἔασι
θυρὸς ὄπισθ' ὠδὶ τετλαμμένου. μετὰ δὴ τὸ δὲ καὶ σὺ
ἱππότα τόξον ἔχων ὀρχῇ βαλέοντι ἐοικὼς
εἶτ' ἔπει αἰγόκερως. μετὰ νάματα θ' ὑδροχόοιο.
ἔσχατος δὲ δύω νεῦσιν ὧδε τάξιος ἰχθύς.

Ἀναστασίου.

ὅσσ' ἐδάην κεδνῶν μουσῶν ἄπο κάξεπόνησα
ταῦτ' ἔχω, ἀλλ' ἄλλος πλοῦτον ἄπλητον ἔχει
καὶ πολυτίμητος πᾶσιν σὺν ἄμ' ἐστὶ πολίταις,
ἀεί τ' ἐν βουλῇ πρῶτος ἰδ' εἰν ἀγορῇ.
ἀλλ' ἐμὲ πολυμαθῆ κατὰ τὴν πόρθην φρένα μούσαις
εὑρόντ' ἤτι ἔπος καί τ' ἀπαλεξάμενον
πατρίδ' ἀποπρολιπόντα τύχη σύγκλεισε
τῇ τῶν κεδνῶν πατρίδ' ἐν ἡμετέρων.
οὐδ' ἢ τιμητὸν μάλα γ' οὔτ' ὧν πλούσιον ὄντα
ἀλλὰ καταφρονέειν ἀμφοτέρων δυνατὸν
τῆς ἄρ' ἀναστασίου ἢ νῦν τις ἢ ἐσσομένων δὴ
μνησθεὶς, καὶ πρόπολον πιερίδων καλέσει.

Τοῦ αὐτοῦ πρὸς Φίλιππον.

τὴν πηῶν πάτρην ἦλθον πατρίδ' ἐκπρολελοιπὼς
ὧδ' ἵν' ἔχοιμ' ἀγαθὸν τῶν ἄρ' κεῖθι κακῶν
νῦν ἔχομ' οὖν μίμνων δεσμεύμενος ἐνθάδ' ἀνάγκῃ
οὐ μὰν ἦν μίμνειν οὐδ' ἐνὶ κεῖθι τρόπῳ.
ἀλλὰ τύχην πῶς τῇ δὲ φρένα σὺ Φίλιππ' ὁρέεινεις;
τῇ δ' ἄρ' ἑκὼν μίμνων κεῖθεν ἄπειμ' ἀέκων

Τοῦ αὐτοῦ.

μή μοι τῶν σκηπτούχων εἴη μεγαλώνυμος ὄλβος
μηδὲ πολυνθιακαῖς δῶμα βρύοι φιάλαις
μὴ δὲ μ' ἀγησίλεω λακεδαιμονίου βασιλῆος
ὑψαύχην νικῶν ἔξοχος εὐτυχίη
μὴ δέ μοι ἀμφὶ δικῶν λογάρειον κῦδος ἕποιτο
μὴ δὲ κλέος σφαλερὸν δημαρέτοι ἀρετῆς.
ἀλλά με τὸν μέγ' ἄδοξον ἰδ' ἄγνωστον παρὰ πολλοῖς

κοὐδὲ

οὐδὲ μάλ' ἐν βουλαῖς οὐδέ τιν' ἐν πολέμῳ,  
πατρὶς δ' ἐν κόλποισιν ἀγκηλάζασα καθείρξοι,  
μήτ' ἀρετῆς δοῦλον μήτ' ἐόντα τύχης.  
καὶ γὰρ ἐλευθέρῳ οὐκέτι πολλὰ πάρεσται, ἔπειτα  
δουλοσύνης ὀλίγον στέρξομ' ἄτερ συμφορῆς.

Πρὸς Ἰταλόν.

Ἰταλὲ γορμαῦς ἀμαθεῖς βοόων τὸ δ' ἀληθὲς  
εἶπες, ὅθ' οἱ δ' ἀφ' ὑμῶν οὐκ ἔμαθόν τι κακόν.

Εἰς πυργοκράτην.

Πυργοκράτης ὅτε δ' ὕπνον ἄκουσε πυεισμαράγοιο  
χαλκοσφυρηδονίδος φλοίσβοισι δουροβόλου  
κάππεσ' ἀπὸ θειγκοῖ' οὐ τειχίσου πολιέθρου,  
καὶ μὲν ἔφη ἐξεχύθη πᾶς ἐμοὶ ἐγκέφαλος.

Εἰς Ἴλλον.

εὖ με παθόντα κακῶς αὖτε φησ' εἰπέμεν Ἴλλος  
νῦν τ' ἐπαπειλεῖ ἐμοὶ δ' οὖν ἀπὸ τοῦ δὲ κακόν.  
νήπιος ἦσθ' ἄρα δρῶν τὸ δ' ἐμῆς γλώττης ἀλεγίζων.  
ὦ τί γὰρ ἀντὶ κακῶν ἴλλ' ἔρδειν με δοκεῖς.;

Εἰς τρίφιλον.

ὁ Τρίφιλός ποτ' ἐμοὶ αἰτήσαντι δύ' ἀργυρείου μνᾶς  
οὐκ ἔφη οὐδεμίαν, δώσεμεν οἱ μὲν ἐμ', ἔχειν.  
τῷ δ' ἐγὼ ὀργίσθην, ὦ μὴ βαρύθυμος ἐὼν περ,  
ἀλλ' οὐδὲ μήτ' ὀργῆς μήτ' ἐμοῦ εἶχε λόγον.  
τοῦτον ἐγὼ σοφίῃ μαργῶντα πρὶν ἀκούσας  
αἰτίζειν πάντας κόρματι ἀμφὶ φίλους.  
τῷ δ' ὅτ' ὁρῶ, οἷον κ' εἴπῃς τοῖον κ' ἐπακούσαις  
ὀργισθήσετ' ἐμοί, μηδ' ἐγὼ λογιῶ.

Ἐρωτικόν.

ὦ φίλα δάκρυα ἡδύτ' ἐμοὶ, εἰ ἄγε τ' ἄφθονον ἡμῖν
ῥεῦμα σβεσσάμενον χεύετε πυρκαΐην.
τὴν παφίη σὺν παιδὶ φρενῶν ἐντοσθεν ἀνῆψε
ἥτ' ἔμπνευσα μένος τοῖσι γόοισιν ἐγώ.
ὑμμὲ ὥς γ' ἐκ διὸς ὄμβρος ἀπεισβόμεν' ἔσσετ' ἀρωγὰ
τοῦ πυρὸς ἐκ δεινῆς κυπρίδος ὀλλυμένῳ.

Ἐκ τοῦ ἐναντίου.

μή μοι δάκρυα ῥεῖτε τά γ' ἐντὸς ξηρὰ λιπόντα
ἐντὸς πῦρ με φλέγει ἔνδοθι χρεῖ' ὕδατος.
ἐν γὰρ τῇ κραδίῃ φλόγ' ἀνήψατο τῇ ὑπὸ ῥίζει
αἶμ' ἀμαλακῶσεν κυπρὶς ὀρωτοτόκος,
ὑμμὲ ὥσπερ δίψη θέρεος τεθνεῶσαν ἄρουραν
ἐκκεχυθέντα νεκρὸν λείψετε θυμὸν ἐμοί.

Εἰς ἰατρούς.

Ἱπποκράτους ὅτ' ἔην ζωὸς γαῖαν τ' ἐπεφοίτα
ἡ πενίη ῥυπόεν δῦσε χάροντι ῥάκος.
τοῖα γὰρ ὢν ἰότητι θεῶν καὶ φάρμακα ἤδη
ῥύσατ' ἂν οἷσι βροτοὺς ἐξ ἀΐδαο πυλῶν
νῦν δ' ὅτε μύρια φῦλα ἰατρῶν ὡς ἀπὸ τέχνης
πλουτεῖ, πορφυρέοις κεῖτ' ἐνὶ ναῦτα πέπλοις.

Πρὸς Φίλιππον τὸν μελαῦ.

ἔρχεαι ὦ πλεῖστον πεφιλημένε ἔμοιγε Φίλιππε
κεῖσ' ἵν' ὑπὲρ πάντων φροντίδα καῖσαρ ἔχει.
αὐτίκα τε δὲ σφετέρης πάτρης λάβετ', ἡ γὰρ ἐκείνου
ἐς ἀλεμανῶν γῆ πατρὶς ἀρχῇ φίλων,
μαξιμιανοῖ ἰανῷ μεγάλου βασιλῆος,

τοῦ καὶ

τοῦ κἀρετὴ ζῶντος ζηλωὸς ἔπλησε δόμους.
ἔρχεαι ἐμπνεύσων οὖρον χειμαζομένοισι
μέσσῳ ἐπηρείας πράγμασιν ἐν πελάγει.
ἀλλ᾽ ἐγὼ εὐχόμενος μεγάλῳ θεῷ, ἐνθάδε μίμνω
ἐκτελέσαι σπουδὴν τὴν δὲ Φίλιππε τεήν.
ἣν δ᾽ αὖ. οἰωνοῖο χάριν δὲ τὰ δεινὰ σιγάσθω,
σῶσαί σε ψυχῆς ἥμισυ δ᾽ ἡμετέρης.

ΙΟΑΧΕΙΜΟΥ ΓΡΙΦΟΣ.

Ἔνθ᾽ ἥμην οὐ γαῖα πόαν οὐ δένδρε᾽ ἔφυσεν
οὐ ζῶον τρέφε τ᾽ οὐδὲν ὅς ἄρ τ᾽ ἀνὰ γαῖαν ἔασι
οὐδέ θ᾽ ὅσ᾽ ἐν πελάγει καὶ ἠέρι δέμνι᾽ ἔχουσι.
καὶ δέ θ᾽ ὅμως μέροπας θ᾽ ὁράαν καὶ θηρία πάντα
ἠδ᾽ ὄρνεις ὀξὺν ἠδ᾽ ἰχθύας ὑγροδιαίτους,
αὐτ᾽ ἐνιποιήτους ἐπειὴ φάος ἐνδιαθῆκε.

Ἄλλος.

μητὴρ ἡμέ᾽ ἔτεκεν νῦν αὖθ᾽ ὑπὸ τίκτετ᾽ ἐμεῖο

Ἄλλος.

Ἑρμέω ἡ πάλ᾽ ἑταῖρε οὐ νῦν ξύλου ἀλλὰ μετάλλου
ἱπποτάδου ταμιεῖον ἔην διὰ γαστέρα κοίλην
ἐκκενεωσαμένη καὶ πετρογλυφῶν ὑπὸ ῥάβδων
θήκης χρυσεῖσ᾽ ἄπειαν πίμπλησι χελώνην
αἰολοφωνούσης νηλεύστου καλλιοπείας.

Τοῦ αὐτοῦ πρὸς Μίκυλλον ὅτι οὐδὲν ὄφε-
λος τῶν μουσῶν.

εἰδῆτ᾽ οὖν Φίλ᾽ ἀφ᾽ ὧδε σοι λιγείας
μούσης καὶ γλυκερᾶς, πλέον μίκυλλε
τῆς δ᾽ ἐς ἄφρονος ἡδονῆς, πόνου τε

περὶ κάλλους μελιτωμένοι ἀοιδῆς;
ἢ τοῦ κέρματος ἐμπολᾷ τι κέρδους;
οἷον πρίν ποτ᾽ ἀκούομεν τὸν Ὅμηρον
τῶν τ᾽ ἢ τέτταρα χρυσί᾽ οἶμ᾽ ἑταίρων
ἀντ᾽ ὀκτακοσίων ἐπῶν δεδέχθαι.

Πρὸς τὸν αὐτὸν περὶ τοῦ αὐτοῦ.

ὦ τάν τίπτ᾽ ἔτι μοῦσαν ἐξεγείρεις
εὕδουσαν μαλακὸν Μίκυλλε κῶμα;
κνώσσουσαν λίπε τήνδε μὴ νέοντι
πρᾶγμ᾽ ἤνυσᾶσα δίδου. σὺ δ᾽ ἀλλ᾽ ἐπέρχου
τὴν καὶ νῶϊ ὄφελος τι τὸ γὰρ ἤδη
τοῦ χάρτα ἀναλώματ᾽ ἐκποιεῖσθαι
σμικροῖς ἄλφιτα παισὶ κρεῖττον εἴη
καὶ μὴν πυνθάνομαι σε πουλυκερδές.
καὶ χρυσόν τι τεχνύδριον μετελθεῖν,
χαίρειν ταῖς ἀθλίαις φράσαντα μούσαις,
σοί τ᾽ οὖν σῇ τε γυναικὶ τοῦτ᾽ ἄμεινον
σπουδῆς ἔσσετ᾽ ἀλιτίδων θεάων,
τῆς πάσης ἀνὰ γῆς πλανωμενάων
ἀζήλων, ἀπόλεων, γυμνῶν, πτωχῶν.
μήτ᾽ οὖν νηπιάχας ὄχει Μίκυλλε
καὶ μᾶλλον τὸ δὲ σωφρονοῦν φυλάττων
μούσας τὰς κακοδαίμονας περιελθὲ
νοῦν κεῖσ᾽ εἰς ἄφνος βλέπειν κελεύσας.

Ιωαχείμου.

ἐλπὶς καὶ σὺ τύχη μὴ χαίρετε, πρὸς λιμὴν αὐτὸς
ναῦς ἐάγη, πάντη σφῶν χατέουσι βροτοί.

Τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ.

οὐδ' ἐγὼ αὐτὸς ποιητὴν ἐμὲ φημὶ γενέσθαι
οὐδέ τε Παρνασοῦ βῆν ἐπ' ὄρους κορυφήν,
οὐδ' ἐμ' ἐν ἱπποκρήνης ἐπότισθη χείλεα κρήνης,
οὐδέ με πιερίδων ὅσσα προσῆλθε θεῶν.
καὶ δ' ἔθ' ὅμως ἀεί τι γράφων στίχον τ' ἐν ἀριθμῷ
καὶ πεδίων κλειοῦς ἄνθος ἀποδρέπομαι
ἡ δ' ἐμὲ ἐᾷ βελτίστη ὅπως τινὰ ποῦ δ' ἀλιταίνειν
ἡδύ τ' ἐπ' ἀοιδῆς τῆς δὲ κενῆς γελάᾳ.
οὐκ ἀλέγω. τέρψις γὰρ ἐμοὶ εὑρέθη ἠδὲ βίοιο
παυσωλή τ' ἀγαθὴ φροντίδος ἀργαλέης
μοῦσα μόνον μ' ἔασον ἀνώνυμον τ' ἀκλεῆ τε
ἀφραδέειν σφετέρης ἂν δρίον ἀονίης.

ΓΕΝΙΚΩΝ ΠΑΘΩΝ ΕΙΚΟΝΕΣ.

Ξένος. Χαρά.

Τίς χόρος ἔσθ' ὅδε θαυμαστός; τίς στῆσε δ' ἄρ' αὐτόν ξε.
εἰπὲ σὺ δὴ φαιδρὰν βλέμμ' ἱλαρῶσα γέλω.
ξεῖν' ὁράας γραφικῆς. τὰ δὲ τοῦ πολυμηχάνου ἔργα χ.
κάμε δὲ τῇ δ' ὀνητὴν πᾶσι βροτοῖσι χαράν.
ἀλλὰ τίνες περί σ' οἵδε τρέχουσ' ἢ δαίμονές εἰσί; ξε.
καὐτοὶ δαίμονες οὖν εἰσὶν ἐπιχθόνιοι. χ.
μαίνονται δ' οἵδ' ἤτι γε δρῶσιν; χ. ἐμοὶ ἀμφιέπουσιν ξ.
ἵμερος ἠδὲ πόθος, καὶ σὺν ἔρωτι δόλος,
τέρψις τ' ἠδ' ἀπάτη λογοδαίδαλος, ἡ δ' ἐπὶ πᾶσιν
πρεσβύτερος κισσοῦ κῶμος ἔχων στέφανον.
τίς δέ σοι ἑσπόμενος μελανωπὸς ὁ δ' ἔστιν, ἰδ' αὐτό ξ.
ἄγριος ὥσπερ τις κάπνος ὀδὸν τε πρίων.

καὶ πυρόεσσαν ὑπὲρ κεφαλῆς ἀνὰ δᾶδα τινάσσων
    καὶ φοβερὸν ῥήσσων κρωγμὸν ἀπ' ἐκ στόματος
ὃ πὲρ εἰ ἀέθλι' ἐγὼν οἴκτ' ἦν ἔμμεναι ἀμφὶς
    ἦγον ἐνὶ ζωῆς ὀλβιοδαιμονίῃ.
νῦν δ' ὅδε ταῦτα τὰ τερπνὰ φύρων τὸ δ' ἔθ' ἡδὺ πι-
        κρήνας
    δυσκέλαδ' ἀμφίκτυπων ἕσπετ' ὄπισθε φόβος.
ἕσπεθ' ὁμῶς τ' ἐπ' ἀνίκρην ἐμὲ δεινὸς ἀδελφὴν
    ἕλκει, ἐγὼ δ' αὐτῆς αἰὲν ἀποστρέφομαι,
οὐδ' ἐσιδεῖν γ' ἐθέλοιμ' οὐδ' ἐγγὺς ἰοῦσα δυναίμην
    ψαῦσαι τῆς ὀλοῆς τερψιφόνοιο κόρης
καὐτὴ δ' εἰς ἐμὲ τεινομένη βροτόεσσαν ὀπωπὴν
    βόσκετ' ἐμοῦ συγνοῦ δυστυχίαισι βίου.
ξ. ἥδε τίς οὖν κέκληται. χ. ὄνομ' οἱ ἐμοὶ ἄλγιον οὐδέν,
    οὐδὲν γὰρ λύπης ἔχθιον ἄλλο χαρᾷ.
αὐτὼ δ' ἢ τὼ ξεῖν' ἰδ' ἐκείνων αἰὲν ὀπαδοί,
    ζητοῦσιν θανάτῳ φθεῖρ' ἐμὲ λευγαλέῳ.
ἄλγος ἐστὶ στοναχαί κλαυθμοῖο τ' ἀδελφὸς ὀδυρμός
    οἶκτος θ' ὃς γοερὴν αἰὲν ἵησι βοήν.
ξ. τίς δ' ἥσ' ὧδε προστέλλει παῖς ἀμφιέπουσα,
    λευκὰ δ' ἐρευθομένη μειδιόωσα γένυν.
ἢ πολὺ καλλίστοισιν ἐν ὀφθαλμοῖσιν ὁρῶσα,
    ἧς πτέρυγ' ἐξ ὤμοιιν ἀμφοτέροιιν ἔφυ.
χ. αὐτὴ ξεῖν' ἐμὲ μήποτ' ἰὴν οἴχοιτο λιποῦσα,
    πάρος δέ μοι ἐν πάσαις δυσπραγίαισι μένει.
καί δε προαυδήσασα πόνους ἅμα πάντας ἀνώγει
    τετλάμεν· ἡ δ' αὐτὴ ξυλλάβε θ' ἁψαμένη.

ἥ ποτε

ἥ ποτε βελτίστου γαῖαν μούνη οὐ λίπε πάντων
    ζωὸς ὅταν μακάρων ἐς δῆμον ἔθνος ἔβη.
καλλίστοις ἀθροῦσα θεὲ ὄμμασιν, οὖσα γραῖα δὲ
    πρεσβυτάτου γήρως οὐδέποτ' αἰσθάνεται
ἐλπὶς ὅσον ζῶσιν θέλγουσα χρόνον φρένας ἀνδρῶν
    ἑσπομένη πολλοῖς κεἰς ἀΐδαο δόμους
εὐδαίμων ἄρ' ἦσθα φόβου λύπης τ' ἀπάνευθεν, ξ.
    ἣν ξεῖν' ἀναγκαίης τῆς δ' ἐχόμεσθα τύχης. χ.
οὐδὲ γὰρ ἔστι κακῶν βίος οὐδεὶ βροτοῖσιν ἄμοιρος ξ.
    δῆλον δ' αὖ ὀλίγοις ἄλλα κἄχ' ἄλλα καλά.

Εἰς αἰσχρὸν ἐξεῖναι τοῖς παλαιοῖς ῥήμασι χρησάμενον εὐσεβῆ μοῦσαν ἀσκεῖν.

ὅττι θεὸν χριστόν τε θεοῦ φίλον υἱὸν Ἰησοῦν
    καὶ τέλος ἀφράστου πνεῦμ' ἅγιον τριάδος
καλ διώαμιν ποῦ δ' ἦτ' ἀγαθῆ μελέεσσιν ὑμνήσας
    τοῖ πάλαι ἦσ' ἔθεος ῥήμασι χρησάμενος,
καί που ζῆν' ὀνόμην ἤ γ' αὖ δίος υἱὸν ἄνακτα
    φοῖβον ἀπ' ὠκεανοῦ ῥεύμασ' ἀνερχόμενον
καὶ ἔτι δ' ἄρ ἄλλο γ' ὅμοιον ὅπερ νόμος ἦν προτέροισι
    ποιηταῖς λιγυροῖς ἄσμασιν ἐμβαλέειν,
τοῖ δ' ἕνεκεν μ' ἀσεβῆ καλεῖ αἴσχρος, ἠδὲ βεβηλὰ
    βιβλία, καὶ φεύγει ταῦτα βδελυσσόμενος.
αἴσχρε μὴ σύ γε ῥήματ' οἴεο μὴ σιωπῶντα
    εἰδέειν πάντων ἴσορα ταῦτα θεόν,
καὶ γὰρ τοῦτο νοεῖν ἄτοπον, καὶ δ' ὧδε νοήσεις
    ἀλλὰ θεὸς τά γε τοῦ στήθεος ἔνδοθ' ὁρᾷ
καὶ τὰ δ' ἐκεῖνος ἰδὼν καθαρὰ μετ' ἔναυλα φρονήσει

μὴ δ᾽ ὁ δ᾽ ἑνὸς βδελυρῶν λέξιν ἔθηκε ῥόπου

## ΙΟΑΧΕΙΜΟΥ ΥΜΝΟΙ.

### Εἰς τὸ ἅγιον πάσχα.

φωσφόρε νειοτόκοιο διὸς ἄμβροτον ἤματος αἴγλην,
φαίνετ᾽ ἀνερχόμενος στεπτὰ κάρηνα ῥόδοις.
ὤμοι δύστηναι νεφέλαι σκιόωντο ὄλυμπον
καὶ πᾶς νωθρώδης οὐρανὸς εἴδεειν.
αἴολ᾽ ὀριπνεύστων ταμίας σκηπτοῦχος ἀήτων
ὄλβιε σὺν τοῖς σοῖς δώδεκα παισὶ πάτερ,
προὔκπεμψον Βορέαο πνοὰς αἰθρηγενέταο
ἐντὸς ὄρους εἴρξας δεινὰ ῥέοντα νότου,
καὶ τὰ δ᾽ ἀπουρανόθεν νέφεα σκίδναθ᾽ ἀλεγεινὰ
θέσθαι τ᾽ εὐζώνους ἠελίοιο πόρους.
σύζυγε Τιθωνοῖο θεὰ ῥοδοδάκτυλος ἠὼς
ἄσβεστον φῶς μεγάλοις θεοῖσι φέρουσα νέον.
κάξανιοῦσα διὸς κρονίδου ποτὶ χαλκοβατὲς δῶ
ἔγχεε δειλοῖσιν καὶ μετὰ χάρμα βροτοῖς.
φοῖβε πολυῤῥοθίου ἐξ ὠκεανοῖ᾽ ἀναδύντας
ζεύγνυσθαι πώλους ἅρμαθ᾽ ὑφ᾽ αὐγαλέῳ.
εὖτε φανεὶς θολερᾶς σκότον ἐξέλασον μάλα νυκτὸς,
ὃς πάντεσσ᾽ ὀρφνὴν ἀστράσιν ἦλθεν ἄγων.
μή μοι δ᾽ αὖ ἑτέρῃ ποδὶ τὸν πόλον ἔρχεο ἀχλὺς
κοιμήσου χώρας σχέτλια ἡμεδέων.
ὦναξ ὦ διὸς υἱὲ καλὸν χρόνον ἄμμιν ἔγειρον
καὶ χάρειν τὸ δὲ σὸν διὸς φίλε φοῖβε φάος
τούτου ἐγὼν ἵνα πρώτου ἴδω ζαθέην ἀμαρυγὴν,
ἐξ εὐνῆς νύχιος ὕπνον ἄιξα λιπών.

οὕτω

οὕτω μοι ὁ παντοκράτωρ θεὸς ἵλαος εἴη
    ὡς τὸ δ' ἔτι τοῦ φέγγος καὶ εἰς ἐνιαυτὸν ὁρᾶν.
καὶ ἔτι ἐξ ἐτέων, ἀναμαρτήτῳ φρενὸς ὄψει
    ταῖς μεγάλαις ἀγαθαῖς εὐδοκίησι θεοῦ.
φέγγος εὐφροσύνης ὦ λευγαλέη πέσε μοῖρα
    ἔχθιστος μερόπων μικροβίων θάνατος.
ὅστε κατ' εἰς νίκην ἐπόθη νικημένος αὐτοῦ
    οὗπερ ὁ πρότερον πλεῖστα τύραννος ἔην.
ὁ νῦν αὖτε τάλας κεῖται λόγχη δ' ἀπεθραύσθη
    παμφανόωσ' αἰχμὴ ἀτελέτοιο νόμου.
ὦ μέγα σεμνοτάτη νίκη μή πω στεφανοῦσα
    λῆξον χριστοφιλῆ μου κατέχουσα βίον.

Χριστῷ Ἰησοῦ νικητῇ τοῦ θανάτου.

τίπτε μοι ἄμμορε τίπτ' ἔτι σῇ βίηφι θρασύνῃ,
    ὦ τάλαν οὐ πάνυ δεύτερον ὄφρα πέσῃς;
δεύτερον οὖν πεσέῃ κατακείμενος ἔντομος οὕδει,
    ὦ γὰρ ἀκρατμηθὲν κρατὸς ἀπ' ὀξὺ δέμας.
ἀλλ' ἔτι σ' εἰλίσσεις, ἔτι τὴν σὴν οὐρὰν ἀνασπᾷς,
    μαστεύων πάντῃ νύττεμεν οὗ κε τύχοις.
καὶ γὰρ ἐπίτριπτος κεφαλὴ μετὰ σῶμα λιποῦσα
    εἰλεῖτ' ἀνθρώπων ποσσὶ πιεζομένη.
οὕτω πως ὀλοῆς σπεῖραι κυλινδόμεναι ὕδρας
    ἐν μεσάτῃ θνήσκουσ' ἐκφοβέουσιν ὁδόν,
οὐ μέν τοι δύναται, θανάτου δὴ πλησίον ἐοῦσαι
    εἰσέτι λυσιμελῆ φάρμακ' ἀφιέμεναι,
